34

M. 17734

99

# ΧΡΥΣΟΒΟΥΛΛΑ ΚΑΙ ΓΡΑΜΜΑΤΑ

## ΤΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΠΑΤΡΙΑΡΧΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΙΠΠΟΚΡΑΤΟΥΣ Σ. ΚΑΡΑΒΙΑ

ΑΝΗΚΟΝΤΑ

ΕΙΣ ΤΟΥΣ ΦΙΛΑΔΕΛΦΕΙΑΣ ΜΗΤΡΟΠΟΛΙΤΑΣ
ΥΠΕΡΤΙΜΟΥΣ ΚΑΙ ΕΞΑΡΧΟΥΣ ΠΑΤΡΙΑΡΧΙΚΟΥΣ

ΚΑΙ ΠΡΟΕΔΡΟΥΣ ΠΝΕΥΜΑΤΙΚΟΥΣ
ΤΗΣ ΕΝΕΤΙΗΙΣΙ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΚΟΙΝΟΤΗΤΟΣ

ΕΚΔΟΝΤΟΣ

ΙΩΑΝΝΟΥ ΒΕΛΟΥΔΟΥ.

1402

ΕΝ ΒΕΝΕΤΙΑΙ

ΤΥΠ. ΤΟΥ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ

1873

ΤΗΙ ΠΕΡΙΦΑΝΕΣΤΑΤΗΙ ΕΝΕΤΗΙΣΙ ΤΩΝ ΕΛΛΗΝΩΝ

ΟΡΘΟΔΟΞΩΙ ΑΔΕΛΦΟΤΗΤΙ

ΤΑΥΤΑ ΠΡΟΘΥΜΩΣ ΧΟΡΗΓΗΣΑΣΗΙ

ΤΑ ΙΕΡΑ ΚΕΙΜΗΛΙΑ

ΜΑΡΤΥΡΟΥΝΤΑ

ΤΟ ΤΕ ΜΕΓΑΛΕΙΟΝ ΑΥΤΗΣ

ΚΑΙ ΤΟ ΠΕΡΙ ΤΑ ΠΑΤΡΙΑ ΑΚΛΟΝΗΤΟΝ

ΚΑΙ ΑΠΑΡΑΤΡΕΠΤΟΝ

Ο ΕΚΔΟΤΗΣ.

SISMANOGLIO

SISMANOGLIO

## ΤΩΙ ΦΙΛΑΝΑΓΝΩΣΤΗΙ

Τὴν μὲν ἐν τῷ πέρυσιν ἐκδοθέντι ἡμετέρῳ Ἱστορικῷ Ὑπομνήματι » Ἑλλήνων Ὀρθοδόξων Ἀποικία ἐν Βενετίᾳ «, οὗτινος τὸ μετὰ χεῖρας βιβλίδιον θεωρητέον οἱονεὶ Μέρος τὸ Β΄, ὑποταχθεῖσαν (ἐν σελ. 70.) ὑπόσχεσιν ἀποδιδόαμεν, διὰ τῆς παρούσης τῶν τε Χρυσοβούλλων καὶ Γραμμάτων Πατριαρχικῶν ἐκτυπώσεως, ὅσοις περ ἡ Μεγάλη τοῦ Χριστοῦ ἁγία Ἐκκλησία τὸν Ἐνετίῃσι Φιλαδελφείας ἱερώτατον θρόνον, καὶ τὴν περικλεῆ ἐνταῦθα τῶν Ἑλλήνων Κοινότητα πατρικῶς διεκόσμησε καὶ περιέθαλψε. Ταῦτα δὲ τὰ πνευματοκίνητα ἔγγραφα, δι᾽ ὧν οἱ Κωνσταντινουπόλεως Οἰκουμενικοὶ Πατριάρχαι προστάτας ἑαυτοὺς παρέσχον τῆς εὐσεβείας, καὶ προμάχους, καὶ τῶν θείων δογμάτων διδασκάλους καὶ ὁδηγούς, ὅπου καὶ μάλιστα ἐπήρειαι στυγεραὶ καὶ ἀθέμιτοι, καὶ ποικίλα ἐκ τῆς Δύσεως πνεύματα πλάνης καὶ πονηρίας ὑποφυσῶντα, συνέθλιβον καὶ κατεπάτουν τὴν Ὀρθοδοξίαν (τὰ παραπλήσια τοῖς ἐκ τῆς νῦν ξενικῆς

ψευδοσοφίας), ἀριδήλως ἀποδεικνῦσι τὰς μοχθηρὰς τῶν παπιστῶν ἀξιώσεις, καὶ τῶν Ἑνετῶν συγγραφέων τὰς ἀναισχύντους ψευδολογίας. Καὶ τὰ μὲν προβαλλόμενα Πατριαρχικὰ ἔγγραφα, περίτρανα δὴ, καὶ ἱκανὰ πρὸς ἀσφάλειαν τῶν περὶ τῆς ἡμετέρας Κοινότητος προϊστορηθέντων ἡμῖν μαρτύρια.

Τούτων δὲ νῦν, ὅσα μὲν ἄχρι τοῦδε ἀπεσώθησαν ἐκδιδόντες, τοσαῦτα καὶ συντηροῦνται ἐν τῷ Θησαυροφυλακίῳ τῆς Ἀδελφότητος· ἕτερα δ᾽ αὖ, ἀλλαχόθεν εἰληφότες, προσεπεθήκαμεν. Ὅτι δὲ καὶ διὰ πάσης εὐσεβοῦς ἀκριβείας ἐξετυπώσαμεν, οὐδὲν οὐδαμοῦ ἀλλοιώσαντες τῶν περὶ νόημα καὶ στίξιν καὶ ὀρθογραφίαν, δῆλον ἐκ τῶν ὀλίγων σημειωμάτων, δι᾽ ὧν τὰ παρὰ τὴν κανονικὴν χρῆσιν ἐπανορθοῦνται, ἵνα μὴ, ἐσθ᾽ ὅτε, ἀηδῶς ὁ ἀναγινώσκων διατεθῇ, καὶ ἴσως, μᾶλλον τῇ τοῦ ἐκδότου ἀμελείᾳ, ἢ τοῖς μεταγραφεῦσιν, ἀποδοθῶσι τὰ παροράματα. Ἐπὶ τούτοις, καί τινα πρὸς ἱστορικὴν σαφήνειαν καὶ κατάληψιν ὑπεσημειώσαμεν, καὶ φωτόγραφα δὲ δύο ἐκ τῶν πρωτοτύπων, τριτημόριον μικρότερα τοῦ ὄντως μεγέθους, ἐπεσυνάψαμεν, τὸ ἔργον ἐξανύσαντες, τό γ᾽ ἐφ᾽ ἡμῖν, εἰ καὶ μὴ κατὰ τὸ προσῆκον ἐκδόταις.

SISMANOGLIO



## Α'.

(Εἰς μεμβράναν)

# ΙΕΡΕΜΙΑΣ

**ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.** [1]

Ἐμφανὲς εἶναι τοῖς πᾶσιν ἔοικεν ὡς ἡ τῶν πατριαρχικῶν σταυροπηγίων ἐλευθερία τε καὶ ἀδουλωσία, καὶ ἡ ἐν αὐτοῖς ἀναφορὰ τοῦ ἡμετέρου ὀνόματος, ἄνωθεν ἐξαρχῆς παρὰ τῶν θείων νόμων ἐπεβραβεύθη. Καὶ ἡ μετριότης ἡμῶν σὺν ἄλλοις καὶ τοῦτο προνόμιον ἔχουσα, προνοεῖται μὲν οἷα εἰκὸς καὶ πᾶσαν σπουδὴν ἐπιδείκνυται· ὡς ἂν ἥ τε κατάστασις αὐτῶν διαμένοι ἀπαρασάλευτος, καὶ πᾶσα χεὶρ ἄδικος ἀμετόχως καὶ παραλόγως ἐξουσιάζειν ἐθέλουσα, ἢ κατεπεμβαίνειν, ἢ ζημιοῦν κωλύηται τῇ ἰσχύϊ τῇ ἡμετέρᾳ. Ἀμύνεται δὲ ὅση δύναμις τοὺς ὁπωσδήποτε κατολιγωροῦντας τῶν τε ἀρχαίων θεσπισμάτων καὶ τῶν δικαίων ἡμῶν, καὶ τούτους ἀπωθουμένους ὡς καταφρονητὰς καὶ τῶν ἀλλοτρίων ἅρπαγας, ἀνακτᾶται καὶ διασώζει αὐτά, καὶ εἰς τὸ ἐλεύθερον καὶ ἀδου-

[1] Σώζεται ἐν τῷ Θησαυροφυλακίῳ τῆς ἐν Βενετίᾳ Ὀρθοδόξου τῶν Ἑλλήνων Ἀδελφότητος, Ἀριθ. 17.— Ἠσφάλισται δὲ μολυβδίνῳ σιγιλλίῳ, ὡς ἔστιν ἰδεῖν ἐν τῷ ἐπισυνημμένῳ φωτογράφῳ. Τὸ δὲ κατώτερον ἥμισυ τοῦ παρόντος Πατριαρχικοῦ Γράμματος, ἐξ ὑγρασίας καταφθαρέν, διατέτρηται τῇδε κἀκεῖσε· ὅθεν καὶ λέξεις ὅλας, ἐξιτήλους ἤδη γενομένας, ἠναγκάσθημεν, τόγ' ἐφ' ἡμῖν, θεραπεῦσαι, ογκίνοις ἐγκλείσαντες τὰ ἀναπληρώματα.

λωτον πάλιν άποκα[θιστάνει]. Ἐπεὶ οὖν ὁ περικαλλὴς καὶ θεῖος ναὸς τοῦ μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου τῶν Γραικῶν, ὁ ἐν ταῖς κλειναῖς Ἐνετίαις, πατριαρχικὸν καὶ αὐτὸς ὑπάρχων σταυροπήγιον,[1] καὶ ὡς τὰ λοιπὰ ὀφείλων ἔχειν τό, τε ἐλεύθερον καὶ ἀδούλωτον κατὰ τὰ πάλαι προνόμια, ὡς ἀνηνέχθη ἡμῖν, ὑπό τινων κατεπατήθη καὶ ἐδουλώθη τῶν διὰ φιλαρχίαν καὶ αὐθάδειαν κωλυομένων τὰ δέοντα συνιδεῖν, καὶ ἀντιποιουμένων τῶν παντελῶς μὴ προσηκόντων αὐτοῖς,[2] ἔδοξε τῇ ἡμῶν μετριότητι δίκαιον ϗ προσῆκον, ἵνα τὸ τοιοῦτον τῆς προσηκούσης διορθώσεως ἀξιώσῃ, καὶ τῇ ἰσχύϊ καὶ ἐξουσίᾳ αὐτῆς, ἅπαντα παύσῃ τῆς ἀθέσμου καὶ παραλόγου ἐπιχειρήσεως, τὸν καθ' οἱονδήτινα τρόπον τολμῶντα ἢ καὶ τολμήσοντα ὑπὸ ζυγὸν δουλείας ἄγειν τὸν εἰρημένον ναόν, καὶ ἀφαιρεῖσθαι αὐτοῦ τῆς ἐλευθερίας, ἣν αὐτῷ ἡ πατριαρχικὴ ἐξουσία τοῖς προνομίοις αὐτῆς περιέθηκεν. Ἔνθεν τοι καὶ διασκεψαμένη, τὸ παρὸν αὐτῆς πατριαρχικὸν ἔγγραφον ἀπολύει, δι' οὗ καὶ γράφουσα ἐν ἁγίῳ Πνεύματι ἀποφαίνεται καὶ παρακελεύεται, ἵνα ὁ διαλειφθεὶς θεῖος ναὸς τοῦ μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου τῶν Γραικῶν, ὁ ἐν ταῖς κλειναῖς Ἐνετίαις, ὡς πατριαρχικὸν σταυροπήγιον καὶ ὢν καὶ καλούμενος, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἔχῃ τὸ ἀδέσποτον καὶ ἀδούλωτον εἰς τὸν ἅπαντα χρόνον, καὶ ἐξουσιά[ζηται ϗ ἀν]ακρίνηται παρ[αινούσης] τῆς ἡμῶν μετριότητος, ϗ τῶν κατὰ καιροὺς Πατριαρχῶν· ὧν περ καὶ τὸ μνημόσυνον ἔχειν ὀφείλει, καὶ τὴν ἀναφορὰν

[1] Περὶ τούτου εἰρήκαμεν τὰ δέοντα ἐν τῷ ἡμετέρῳ Ἱστορικῷ Ὑπομνήματι, Ἑλλήνων Ὀρθοδόξων Ἀποικία ἐν Βενετίᾳ, 1872, σελ. 67. — [2] Αἰνίττεται τοὺς διωγμοὺς καὶ παραβιασμούς, οὓς οἱ ἐν Βενετίᾳ Ὀρθόδοξοι ὑπέστησαν ὑπὸ τῶν Δυτικῶν. (Βλ. τοῦ ἀνωτέρου Ἱστορικ. Ὑπομνήματ. σελ. 52 ἕως 65.)



τοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱερεῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς ὀφείλεται καὶ εἴθισται·[1] καὶ μηδεὶς τῶν κατὰ καιροὺς ἀφικνουμένων ἐκεῖσε Ἀρχιερέων ἐπιτροπικῶς καὶ ἐξαρχικῶς τολμά[τω ὁπως]δήποτε καταδουλοῦν καὶ ὑποτάττειν αὐτὸν πατριαρχικὸν ὄντα ναὸν καὶ ἐλεύθερον, ἢ ἀποκόπτειν ἀλογίστως τὸ μνημόσυνον τῆς ἡμῶν μετριότητος, στενοχωρῶν[καὶ κα]ταδυναστεύων τοὺς ἐκεῖσε ἐφημερίους ϗ τοὺς λοιποὺς εὐσεβεῖς. Καὶ γὰρ ὅς τις ἂν εἴη ὁ τοιαῦτα τολμήσων παρὰ τὴν ἀξίαν ϗ παρὰ τὸ δίκαιον, ὁ τοιοῦτος ὡς αὐθάδης καὶ καταφρονητὴς τῶν θείων νόμων καὶ προνομίων ἡμῶν, ϗ τοῦ παρόντος πατριαρχικοῦ σιγιλλιώδους γράμματος ἀργὸς ἔστω πάσης ἀρχιερατικῆς ἐνεργείας ϗ τάξ[εως· κα]ταφρο[νῶν δὲ τῆς] ἀργίας, καὶ ἀφορισμένος ἀπὸ Θεοῦ παντοκράτορος, ϗ ἄλυτος μετὰ θάνατον. Πρὸς δὲ τούτοις ἀποφαινόμεθα ἐν ἁγίῳ Πνεύματι καὶ παρακελευόμεθα, ἵνα [οἱ τε]ταγμένοι τεσσαράκοντα καὶ οἱ λοιποὶ ἔφοροι καὶ διοικηταὶ τοῦ αὐτοῦ θείου ναοῦ ἔχωσιν ἐπ' ἀδείας εἰσάγειν καὶ ἐξάγειν [τ]οὺς πατρ[ιαρχικῇ] ἀξίᾳ [ἀρχιερατε]ύοντας, οὐ χωρὶς [μέν τοι] συστατικῶν καὶ ἀπολυτικῶν γραμμάτων· ϗ τοῦτο ποιεῖν ἀντὶ ἡμῶν, οἵ τινες διὰ [τὸ τοῦ τόπου] τοσοῦτον διάστη[μα ἐξουσίαν ἔχομεν] ἐγκαί[ρως καὶ] τούτων φροντίζειν .... δα εἴτι ἂν εἴη τῆς ἡμετέρας πατριαρχικῆς δεόμενον [ἀποφά]σεως· διὰ [τοῦτο καὶ ὀφεί]λουσι δηλοῦν αὐτὰ ὡς ἂν...... (ἴσ. τύχωσι) τῆς ὀφειλομένης ϗ προσηκούσης κηδαιμονίας (γρ. κηδεμονίας) καὶ διορθώσεως. Οὕτως ἐν ἁγίῳ ἀποφαινόμεθα [Πνεύμα-

[1] Καὶ νῦν, ὡς καὶ ἀνέκαθεν, καὶ εἰς αἰῶνα οὐ παύεται κατὰ πάσας τὰς ἱερὰς τελετὰς καὶ ἀκολουθίας μνημονευόμενον, ὡς ὀφείλεται, ἐν τούτῳ τοῦ ἁγίου Γεωργίου Ναῷ τὸ ὄνομα τοῦ τε Οἰκυμενικοῦ Πατριάρχου Κωνσταντινουπόλεως, καὶ τῶν λοιπῶν Ἀντιοχείας, Ἀλεξανδρείας, καὶ Ἱεροσολύμων.

τι], εἰς δήλ[ωσιν] καὶ μόνιμον τὴν ἀσ[φάλειαν] ἐπιχορηγήσαντες τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμετέρας μετριότητος τῇ σε[βασμίᾳ] πατριαρχικῇ ἐκκλησίᾳ τοῦ μεγαλομάρτυρος Γεωργίου τῶν Γραικῶν, τῇ ἐν ταῖς κλειναῖς Ἐνετίαις. Ἐν ἔτει ᾳ.$^{φ}$ φ.$^{φ}$ ο.$^{φ}$ θ.$^{φ}$

✠ Ἱερεμίας ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

---

## Β΄.

(Εἰς χάρτην)

# ΙΕΡΕΜΙΑΣ

ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΣΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. [1]

Ἐκλαμπρότατε καὶ Γαληνότατε Πρίγκιψ τῶν θεοκυβερνήτων Οὐενετῶν, υἱὲ κατὰ πνεῦμα ἀγαπητὲ τῆς ἡμῶν μετριότητος χάρις εἴη τῇ αὐθεντίᾳ σου καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ Θεοῦ παντοκράτορος. Ἐπειδὴ ἐμάθομεν, ὅτι μοναχός τις Μακάριος, καὶ Γαβριὴλ ἱερομόναχος [2] ἀδείας χωρὶς ἡμετέρας διατρέχουσι τὰ αὐτόθι μέρη καὶ τὴν Ἰταλίαν, καὶ ἐπιφημίζουσιν ἑαυτοὺς ἀπεσταλμένους παρὰ τῆς ἐκκλησίας ἡμῶν, ἀπαντῶντες τοὺς πολλοὺς γράμμασι πλαστοῖς, τούτου χάριν ἀξιοῦμεν τὴν αὐθεντίαν σου, ἵνα παιδεύσῃς αὐτοὺς ὡς δεῖ· ἡμεῖς γὰρ οὐδένα ἐπίτροπον ἡμῶν ἔχομεν αὐτοῦ, πάρεξ τοῦ ἱερωτάτου καὶ σοφωτάτου ἀρχιερέως Φιλαδελφείας κυροῦ Γαβριήλ· [1] εἰ δὲ καί τι συνῆξαν ἐπὶ τῷ ὀνόματι τῆς ἐκκλησίας τῆς ἡμετέρας, εὔλογον οἶμαι παραλαβεῖν τοῦτο τὸν αὐτὸν ἐπίτροπον ἡμῶν τὸν ἱερώτατον Φιλαδελφείας, τοῦτο γινόμενον τῇ ἀναγκάσει τῆς αὐθεντίας σου, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴησαν διαπαντός.

Ἐν μηνὶ μαΐῳ Ἰνδικτιῶνος θ΄. [2]

[1] Σώζεται ἡ Ἐπιστολὴ αὕτη ἐν τοῖς Ἐνετικοῖς Ἀρχείοις, ὅθεν καὶ εἰλήφαμεν. (Βλ. Filza Collegio III Secreta).— [2] Περὶ τῶν Μοναχῶν τούτων οὐδὲν οἴδαμεν· ἐκτὸς εἰ μὴ ὁ Γαβριὴλ ὑπάρχει ἴσως ὁ αὐτός, ὁ καὶ Μπερλόζος καλούμενος, ὑπὸ Συμεῶνος, ἐφημερίου τῆς Ἐπισκοπῆς Ἄνδρου, μνημονευόμενος ἐν ἐπιστολῇ πρὸς Θεοδόσιον τὸν Ζυγομαλᾶν, δι' ἧς παρακαλεῖ λυθῆναι τὸν ἑαυτοῦ συγγενῆ τῆς ἀργίας, εἰς ἣν ὑπέβαλεν αὐτὸν ἡ Μ. Ἐκκλησία (Πρβλ. Κρουσίου Τουρκογραικ. σελ. 220).



[1] Ὁ ἐπ' ἀρετῇ δηλονότι, καὶ σοφίᾳ διαβόητος Γαβριὴλ ὁ Σεβῆρος ἐκ Μονεμβασίας· περὶ οὗ ὅρα τοῦ ἀοιδίμου Πρεσβυτέρου Κωνστ. τοῦ ἐξ Οἰκονόμων, Περὶ τῶν Ο΄. Ἑρμηνευτ. Τ. Δ΄. σελ. 805. 806, καὶ τὸ ἡμέτερον Ἱστορ. Ὑπόμνημ. περὶ τῶν ἐν Βενετ. Ὀρθοδόξων, 1872, σελ. 65, καὶ ἄλλους πολλούς.

[2] Τουτέστιν, ἐν ἔτει 1581.

# Γ'.

(Εἰς χάρτην)

# ΙΕΡΕΜΙΑΣ

## ΕΛΕῼ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. (*)

Γαληνότατε Πρίγκεψ τῶν κλεινῶν Βενετιῶν, κύριε κύριε Νικόλαε Νταπόντε, υἱὲ ἀγαπητὲ κατὰ πνεῦμα τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεος καὶ πᾶν ἀγαθὸν καὶ σωτήριον ἐπευχόμεθά σοι ἀπὸ Θεοῦ παντοκράτορος,

(*) Τὸ πρωτότυπον τῆς Ἐπιστολῆς ταύτης κεῖται ἐν τοῖς Κεντρικοῖς Ἐνετικοῖς Ἀρχείοις (Atti del Collegio Sez. III. Secreta). Σύγκειται δ' αὐτῷ καὶ ἰταλικὴ μετάφρασις, ἥτις ἐτυπώθη ἐν Fabio Mutinelli = Storia arcana e aneddotica d' Italia, raccontata dai Veneti Ambasciatori. Venezia, 1855, σελ. 237. Not. II.—Τὸ δὲ κείμενον ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ πολυμαθοῦς καὶ φιλτάτου μοι Σοφ. τοῦ ἐξ Οἰκονόμων, ἐν Βίῳ Γρηγορίου Μητροπολίτου Εἰρηνουπόλεως καὶ Βατοπαιδίου. (Ἀθήν. αωξ'. σελ. 58.), ἐν ᾧ διὰ σπουδαίων σημειωμάτων διατρανοῖ τὸ περὶ τὴν παπικὴν τοῦ Πάσχα καινοτομίαν ἀμετάθετον τῆς τῶν Ὀρθοδόξων γνώμης, καὶ τὴν τελείαν ἀπαλλαγὴν ἔκ τε τῶν τῆς Ῥώμης μηχανημάτων καὶ τῆς πολυπράγμονος μεσιτείας τῶν Ἐνετῶν. Ἡμεῖς δὲ τὸ Πατριαρχικὸν Γράμμα ἐκδίδομεν ἀκριβῶς, κατὰ τὸ ἐν τῷ Θησαυροφ. τῆς Ἀδελφότ. ἀποκείμενον, Ἀριθ. 25., σημειοῦντες παρὰ πόδας καὶ τὰς παραλλαγὰς τοῦ ὑπὸ τοῦ Οἰκονόμου προεκδοθέντος, ἵνα ἔχῃ ὁ ἀναγινώσκων ἀμφότερα ὑπ' ὀφθαλμῶν τὰ πρωτότυπα ταῦτα, διαφέροντα, οὐκ οἴδαμεν ὅπως, πρὸς ἄλληλα, ἐκτὸς εἰ μή τις ἀποδοίη τῷ τοῦ Πατριαρχείου μεταγραφεῖ τὸ αὐθαίρετον.



καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. [1] Ὁ ἐνταῦθα περιφανέστατος Βαΐουλος κύριος Τζουὰνν Φραντζέσκος Μουρεζίνης, ἐμφανισθεὶς σωματικῶς, [2] ἠξίωσεν ἡμᾶς, ὡς ἀπὸ τῆς σῆς γαληνότητος, καὶ πάσης τῆς μεγαλοπρεποῦς Ἀριστοκρατείας, [3] ἵνα πρόβλεψίν τινα οἰκονομήσωμεν, δι' ἧς, τῆς νέας διορθώσεως γεγονυίας, [4] δυνηθῇ ἡ Ἐκκλησία τῆς παλαιᾶς καὶ νέας Ῥώμης συνεορτάζειν, ἕνεκα τῆς ἐπομένης εἰρήνης τῶν Χριστιανῶν. [5] Καὶ ἐπειδὴ [6] ἤκουσε παρ' ἡμῶν, ὅτι οὐ δυνατὸν [7] ἡμῖν γενέσθαι, ἐν μέρει τὰ κωλύοντα διηγησαμένων, ὡς φιλόχριστον ὄντα σε, καὶ φιλέλληνα, καὶ ὡς τὴν ἀρχὴν ὑμῶν φιλοῦσαν τοὺς Γραικούς, τῶν ἄλλων πλέον χριστιανικῶν ἀρχῶν, (*) γράψαι πρὸς σὲ ἐκρίναμεν διὰ τὴν θείαν εἰρήνην· οὐ γὰρ ἀγνοοῦμεν ὅσα σκάνδαλα ἔχουσι γενέσθαι διὰ τὰ νέα ταῦτα ὡρολόγια. [8] Ἄξιον τοίνυν κρίνομεν οἰκονομίαν τινὰ γενέσθαι, ἣν μὲν ἐγὼ πᾶσι κηρύξω καὶ ὁρίσω, [9] καὶ μᾶλλον εἰς Κρήτην καὶ τὰς λοιπὰς νήσους· ἡ δὲ Γαληνότης σου ἐπινεύσοι καὶ προστάξοι. [10] Καὶ ὥσπερ οἱ κατὰ καιροὺς τῆς πρεσβυτέρας Ῥώμης

[1] Τὸ ἐν τοῖς Ἀρχείοις πρωτότυπον ἔχει· ἐπευχόμεθά σοι ἀπὸ Θεοῦ. Ὁ ἐνταῦθα κτλ.—[2] ἐ. ἡμῖν σ.—[3] Α. ὑμῶν —. [4] δ. γ. τοῦ ἔτους.—[5] τ. ἁπανταχοῦ Χ.—[6] Ἐπεὶ δὲ —[7] ὅτι ἀδύνατον.—[8] Λείπει, ὡρολόγια.—[9] πᾶσι διὰ γραμμάτων ὁρίσω.— [10] ἐπινεύσει καὶ προστάξει.

(*) Καὶ ἡ Ἐνετικὴ δὲ ἀρχὴ, χάριν τοῦ ἰδίου συμφέροντος, ἀληθῶς ὑπῆρξε ποτὲ μὲν πρὸς τὰς παπικὰς ἀξιώσεις ἀνθισταμένη, ποτὲ δὲ (καὶ μᾶλλον πολλάκις) καταδιώκουσα τοὺς Ὀρθοδόξους Γραικούς. (Βλ. Σ. Οἰκονόμου τὰς ὑποσημειώσεις εἰς τὸν μνημονευθέντα Βίον Γρηγορίου Μητροπολίτου Εἰρηνουπόλεως, σελ. 59.—καὶ τὸ ἡμέτερον περὶ Ἑλλήνων Ὀρθοδόξων Ἀποικίας ἱστορικὸν Ὑπόμνημα, σελ. 5-9, 52, καὶ ἑξῆς).

Μακαριώτατοι, διὰ τὸ καλὸν τῆς εἰρήνης [1] ἔγραψαν καὶ ὥρισαν, ἵνα οἱ μὲν αὐτοῖς ὑπήκοοι, τὰ ἔθη αὐτῶν κρατῶσι, οἱ δὲ τῆς ἡμῶν Ἐκκλησίας [2] τὰ ἡμῶν, [3] καὶ οὔτε οἱ Λατῖνοι, Γραικοὺς ἐνοχλῶσιν, οὔτε οἱ Γραικοὶ Λατίνους, (*) ἀλλ' ἐν ἀγάπῃ [4] τὸν ἕνα Χριστὸν δοξάζωσιν, ἀσκανδαλίστως· [5] οὕτω καὶ νῦν, [6] ἡ μὲν Ἀνατολικὴ [7] Ἐκκλησία ἡμῶν, διακρατῇ τὰ αὐτῇ παραδοθέντα· [8] ἡ δὲ Δυτικὴ, ὡς θέλει καὶ βούλεται. Ἄλλως γὰρ ποιῆσαι οὐκ ἔχομεν, [9] παντὸς Πατριάρχου τῆς ἀνατολικῆς ἐκκλησίας ταύτης [10] κανόσι ϗ νόμοις ὀφείλοντος ὑποκεῖσθαι, ϗ παραδόσεσιν ἐκκλησιαςικαῖς. [11] Τὸ σεβάσμιον τοίνυν Πάσχα, ἐν ᾧ τὸ κεφάλαιον τῆς περὶ ἡμᾶς τοῦ Κυρίου οἰκονομίας ἐξείργασται, παρά τε τοῦ θείου Κλήμεντος διετάγη, καὶ παρὰ τῆς ἐν Νικαίᾳ Συνόδȣ καλῶς ἐθεωρήθη, κανόνιόν τε πανάριςον [12] συνετέθη αἰώνιον, [13] ἀστρονόμων οὐ δεόμενον, [14] παραδεδομένον τῇ ἐκκλησίᾳ· οὐ τὸ ἴσον, ὡς οἶμαι, ἔχει ὁ ἡμέτερος ἐπίτροπος αὐτοῦ, ὁ Φιλαδελφείας ἱερώτατος ἀρχιερεύς· [15] καὶ εἰ βουλητόν σοι, ἀνάγνωθι, ϗ γνῶσῃ [16] ὡς

[1] εἰρήνης ἕνεκα.— [2] ἀνατολικῆς ἐκκλησίας.— [3] τὰ ἑαυτῶν.— [4] Προστίθησι τὸ, καὶ ὁμονοίᾳ.— [5] Λείπει τὸ, ἀσκανδαλίστως.— [6] οὕτω καὶ νῦν ἔςαι.— [7] Λείπει, ἀνατολική.— [8] τὰ παρ. αὐτ.— [9] οὐκ ἔχομεν ὅλως, ὡς.— [10] τῆς ἐκκλησίας ἡμῶν.— [11] Ἕπονται καὶ ταῦτα· καὶ οὕτω διακρατοῦντος καὶ τοὺς ἐνταῦθα κυβερνῶντος, μένει τὰ τῶν ἁγίων Πατέρων πεφυλαγμένα.— [12] ἄριστον.— [13] συνετέθη αὐτοῖς αἰώνιον.— [14] ἀ. ἑκάστοτε μὴ δ.— [15] ὁ ἡ. αὐτοῦ ἐ. ὁ ἱερ. Φιλαδελφ. χωρὶς τοῦ, ἀρχιερεύς.— [16] καὶ εἰ βούλει, ἀνάγνωθι καὶ γνῶθι.

(*) Αἰνίττεται τὰς Βούλλας Λέοντος τοῦ Ι'. 1514. καὶ Κλήμεντος τοῦ Ζ'. 1526. (Ἐνετ. 1756 καὶ 1777. 8. ον)



καλὸν, καὶ διορθώσεως οὐ χρείαν ἔχον, ὡς παρὰ τῶν θεοσόφων Πατέρων ἀρτιωθέν. (*) Τῶν αἰτιῶν λοιπὸν τούτων,

(*) Σημειωτέον ἐνταῦθα, ὡς ἀπὸ τῆς α'. Οἰκουμενικῆς ἐν Νικαίᾳ Συνόδου ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία τάττει τὴν ἐαρινὴν ἰσημερίαν τῇ κα'. τοῦ Μαρτίου μηνὸς, ἀπαραλλάκτως ὡς εὗρον οἱ τιη'. Θεοφόροι Πατέρες, καὶ ὡς ὁρίζει τὸ τοῦ ζωοποιοῦ Πάσχα ἱερὸν Κανόνιον, συμφώνως πρὸς τὸν ὅρον ἐκείνων, καθ' ὃν ἡ τοῦ Θεοῦ Ἐκκλησία τὴν ἁγίαν τοῦ Πάσχα ἑορτὴν ἐπιτελεῖ, ἀπλανῶς τηροῦσα τὴν ιδ'. τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προςέτακται πάσχα, μετὰ τὴν ἐπίβασιν τῆς ἡμέρας, ἐν ᾗ τὴν ἐαρινὴν ἰσημερίαν γίνεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐδίδαξε (Βλ. Chronicon Paschale, ἐν τῷ Corpus Scriptor. Histor. Byzant. Bonnae, 1832. Τ. Α'. σελ. 16.) Τὰ δὲ ἑλληνικὰ Ἡμερολόγια ἐν Βενετίᾳ καὶ ἀλλαχοῦ τυπωθέντα, τάσσουσι καὶ αὐτὰ, ἀπ' ἀρχῆς μέχρι τοῦ 1831, τὴν ἐαρινὴν ἰσημερίαν τῇ κα'. τοῦ Μαρτίου μηνὸς, καθ' ἡμᾶς. Τῷ δὲ 1832 ἐξεδόθη ἐκ τῶν πιεστηρίων τοῦ ὁμογενοῦς Νικολάου τοῦ Γλυκῆ τὸ σύνηθες Ἡμερολόγιον, ἐν ᾧ (τίς ὁ τολμήσας, εἰπεῖν οὐκ ἔχομεν) αἵ τε ἰσημερίαι καὶ τὰ ἡλιοστάσια, καὶ ἁπλῶς πάντα τὰ ζωδιακὰ σημεῖα, μετετέθησαν εἰς τὴν θ'. τοῦ οἰκείου μηνὸς, ἀντὶ τῆς κα'., ὡς καὶ ἀνέκαθεν ἦσαν, συμφωνίας χάριν, ὡς φαίνεται, τῆς πρὸς τὸ τῶν Λατίνων καλανδάριον, ἀφιστάμενον τοῦ τῇ ἡμῶν Ἐκκλησίᾳ παραδεδομένου ἱεροῦ Κανονίου τὰς γνωςὰς ιβ'. (ἕως τοῦ νῦν) ἡμέρας, αἵτινες ἀφῃρέθησαν ὑπὸ τῶν δυτικῶν ἀστρονόμων, ἐπιστημονικῇ μεγαλαυχίᾳ καταπατησάντων τὰ ὑπὸ τῆς ἁγίας ἐκείνης καὶ οἰκουμενικῆς Συνόδου ὁρισθέντα περὶ τοῦ ἀληθινοῦ τοῦ Κυρίου Πάσχα. (Πρβλ. Νικόδημ. εἰς τὸ Πηδάλιον Καν. Ζ'. τῶν Ἀποστόλ.). Τοιαύτη δὲ τολμηρὰ κατάχρησις, προφανῶς ἀντιβαίνουσα (προκειμένου ἐκκλησιαστικοῦ μᾶλλον, ἢ ἀστρονομικοῦ ἡμερολογίου) τῷ συστήματι τοῦ προμνησθέντος ἱεροῦ Κανονίου, ὅπου τὸ σωτήριον ἡμῶν Πάσχα οὐκ ἂν εὕροις πώποτε τεταγμένον πρὸ τῆς κβ'. τοῦ Μαρτίȣ μηνὸς, ἐαρινῆς ἤδη ἰσημερίας τῇ προτέρᾳ, δηλονότι, ὑποτιθεμένης, ἀπαρατηρήτως ἔκτοτε εἰσεχώρησεν εἰς πάντα τὰ ἐν Ἑλλάδι καὶ ἀλλαχόσε κατ' ἔτος ἐκδιδόμενα Ἡμερολόγια· ἀλλὰ (τὸ χεῖρον) καὶ ἐν Ὡρολογίοις τισὶ, πρὸ ὀλίγων ἐτῶν ἀνατυπωθεῖσιν, ἀπαντᾶται, ὡς μὴ ὤφελε, (πλὴν τῆς ἐν Βενετίᾳ νεωτέρας ἐκδόσεως, τύποις τοῦ ἁγ. Γεωργίου, 1871)

καὶ ἄλλων εὐλόγων πολλῶν [1] τὸ περὶ τοῦ Πάσχα ἀκαταζήτητον διατηροῦμεν, καὶ ὅριον αἰώνιον ἔχομεν, ἄχρι τῆς ἐνδόξου τοῦ χριστοῦ ἐλεύσεως φυλαττόμενον· οὐ γὰρ ὑπέρτεροι κανόνων ἡμεῖς, δι' ὃ πολλοὶ τῆς εὐθείας ἐξετράπησαν, ὑπήκοοι δὲ καὶ ἐκπληρωταὶ, ὡς δυνατὸν, πρὸς οἰκοδομὴν τὴν ἐξουσίαν, ἣν ἔδωκεν ἡμῖν ὁ Κύριος, χρώμενοι ἐν τῇ Ἐκκλησίᾳ τῇ καθ' ἡμᾶς, ἥ τις λόγους ἁγίων ἔχει, [2] μαρτύρια, κανόνας καὶ ἄλλα ἀναγινωσκόμενα καθ' εἱρμὸν ὅλον τὸν ἐνιαυτόν· [3] καὶ εἴ τι τῆς παγχρύσου ἁλύσεως ταύτης ἀποτεμοῦμεν, εἰς τὴν τοῦ ὅλου καθαίρεσιν τὴν ζημίαν ἐπάξομεν ἀνωφελῶς. Ὁ γὰρ σύμπας τῶν ἁγίων Πατέρων σκοπὸς [4] οὐχὶ περὶ θεωρημάτων μαθηματικῶν ἐστιν, [5] ἀλλὰ περὶ Χριστοῦ μαθημάτων, τοῦ μὴ Ἰουδαίοις

σεσημειωμένη τῇ θ'. Μαρτίου μηνὸς ἡ ἐαρινὴ ἰσημερία. Τί δήποτε κοινὸν τῇ Ἀνατολικῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ ταῖς κοσμικαῖς τῶν Δυτικῶν καινοτομίαις; Μήπως καὶ τὸ ἐν τοῖς χρόνοις τῶν θεοφόρων Πατέρων καὶ Διδασκάλων τελούμενον νομικὸν Φάσκα ἀκριβῶς συμφωνεῖ τοῖς τῶν σημερινῶν Ἑβραίων ὑπολογισμοῖς, καὶ ἅπαξ καὶ δὶς περὶ τούτους νεωτερισάντων; Μήπως καὶ αἱ ἀκίνητοι τοῦ ὅλου ἐνιαυτοῦ ἑορταὶ τῶν Δυτικῶν, οὐ διΐστανται τῶν καθ' ἡμᾶς ιβ'. ἡμέρας, (καὶ πλείονας ἔτι μετὰ πολλοὺς αἰῶνας διαστήσονται), ὥσπερ καὶ αἱ ἰσημερίαι καὶ τὰ ἡλιοστάσια, ἀποτελοῦντα τὴν διαφοράν; Τί οὖν: ἆρα καὶ ταύτας μεταθετέον; Ἄπαγε! Ἀλλ' ἑπάμενοι τοῖς Θείοις Πατράσι καὶ νόμοις, μὴ ἐπαισχυνθῶμεν καὶ τὰ ἐκκλησιαστικὰ Ἡμερολόγια, ὡς πρὸ 40 ἐτῶν καὶ ἀπ' ἀρχῆς, ἐκδιδόντες, ὀρθοδόξῳ εὐλαβείᾳ τῇ πρὸς τὴν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν· ἐμμένοντες « ἐν οἷς ἐμάθομεν καὶ ἐπιστώθημεν, εἰδότες παρὰ τίνος ἐμάθομεν »· ἐῶντες δὲ καὶ τοὺς ἀστρονόμους τὰ ἐν οὐρανοῖς διοπτεύειν, καὶ ἀκωλύτως σοφίζεσθαι, μέχρις ὅμως βωμοῦ καὶ μόνον.

1 Μετὰ τὸ, πολλῶν ἀπαιτεῖται, ἢ ὄντων, ἢ ἕνεκα· ἕπεται δὲ, καὶ τὸ περὶ τ. Π. — 2 ἥτις ἔ. λ. ἁ. πολλούς — 3 τὸν ἐν. ὅλ. — 4 Ὁ μὲν γὰρ σύμπας τῶν ἁγίων Πατέρων χορὸς σκοπὸν ἔχει περὶ τούτου (ἴσ. γρ. τοῦτο) οὐχὶ κτλ. — 5 Λείπει τὸ, ἐστίν.



συνεορτάσαι. [1] Εἰ οὖν συνέβη τοῦτο ποτὲ, σκῆψίν τινα τὰ νέα εἶχον· ἐπεὶ Θεοῦ δὲ χάριτι ἄπταιστα μέχρι τοῦ νῦν καὶ παλαιὰ καὶ νέα Ῥώμη, καλῶς τὸν ἕνα Χριστὸν συνεώρταζεν· ἕνεκα τίνος [2] ἡ σύγχυσις αὕτη, καὶ τὸ παγκόσμιον σκάνδαλον τῶν ἀκουομένων δέκα ἡμερῶν; Ἂν γὰρ κἂν κατὰ Πτολεμαῖον τὸν μέγαν ἔλεγον, ἡμέραν μίαν, δι' ἑκάστων ἐτῶν τριακοσίων [3] συνάγοντα, ἀπὸ τῆς πρώτης Συνόδου εὗρον ἂν ἡμέρας τέσσαρας. Ποῦ τοίνυν ἐξευρέθησαν αἱ λοιπαὶ ἓξ ἡμέραι, καὶ τόσον παρεξετάθησαν ἀστρονομίᾳ θαῤῥήσαντες; [4] Τὴν αὐθεντείαν ἐχέτωσαν οἱ τῶν θείων Πατέρων κανόνες καὶ οἱ τῶν εὐσεβῶν βασιλέων νόμοι, [5] καὶ οὐχὶ οἱ ἀστρονόμοι, ὧν τὰ τοιαῦτα συμβούλια, ἀσθενῆ τινα, ὡς δοκεῖ, εὑρόντες λαβὴν, αἰνιττομένην τοῖς θείοις Πατράσι, καὶ φυλαχθεῖσαν ἀναμάρτητον ἕως τὴν σήμερον. Εἰ γὰρ καὶ ὁ χρόνος, καὶ ἡ τῶν φωστήρων κίνησις, περὶ τὴν ἡμέραν τοῦ Πάσχα ἀνωμαλίαν τινὰ ποιεῖ, τῇ εὐσεβείᾳ γε μὴν, οὐδ' ὁπωσιοῦν τοῦτο λυμαίνεται. Ὅθεν οὐδὲ μετατρέπειν δεῖ τὸν τῶν ἁγίων Πατέρων κανόνα, καὶ καινοτομεῖν, καὶ εἰς αἰτίαν στάσεως τὰς Χριστοῦ Ἐκκλησίας κινεῖν. Εἴπερ ἀληθείᾳ καὶ θείῳ Πνεύματι περὶ ἀναγκαίων κυρίως [6] ἐσκόπουν, πολλὰ ἄλλα εἰσὶ ψυχωφελῆ καὶ σωτήρια, [7] καὶ οὐχὶ τὰ παίγνια τῶν ὡρολογίων τού-

1 τοῦ μὴ σ. τοῖς Ἰουδ. — 2 τὰ νέα εἶχον ὡρολόγια. Ἐπεὶ δὲ τῇ χάριτι τοῦ Θεοῦ μέχρι τοῦ νῦν παλαιάτε καὶ νέα Ῥώμη καλῶς τὸν ἕνα Χριστὸν ἅπαξ τοῦ ἐνιαυτοῦ συνεώρταζεν, ὡς ἅπαξ αὐτοῦ παθόντος, τίνος ἕνεκα. — 3 τριακοσίων ἐτῶν. — 4 Ποῦ τοίνυν αἱ λοιπαὶ ἕξ; (καὶ πλέον οὔ.) — 5 καὶ οἱ νόμοι τῶν εὐσεβῶν βασιλέων. — 6 Ἀντὶ τοῦ, κυρίως, καλῶς. — 7 πολλά εἰσι τὰ ψυχωφελῆ, καὶ οὐχὶ τ. π.

των, οὐδὲν ὄντων.[1] Δῴη οὖν[2] Κύριος ὁ Θεὸς εἰρηναίαν κατάστασιν ἅπασι τοῖς Χριστιανοῖς,[3] τῇ τε Γαληνότητί σου, καὶ παντί σου τῷ ὑπηκόῳ, ὑγείαν, σωτηρίαν, ϗ μετὰ τῶν παρόντων εὐτυχῶν ἀγαθῶν, καὶ τῶν ἐπουρανίων καλῶν τὴν ἀπόλαυσιν, τῇ χάριτι αὐτοῦ· οὗ δὴ ἡ χάρις, καὶ τὸ ἄπειρον ἔλεος, καὶ ἡ εὐχὴ, καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος, εἴη μετὰ τῆς σῆς γαληνότητος, πᾶν καταθύμιον δηλούσης, καὶ ἐκπληρουμένου ὡς δυνατόν.

Ἐν μηνὶ Φευρουαρίῳ Ἰνδικτιῶνος ια᾽. (*)

[1] Μετὰ τὸ, ὄντων προστίθησι· Καὶ ταῦτα μὲν ἐν ὀλίγοις περὶ τούτων. — [2] Δῴη δέ. — [3] Τὸ ἑπόμενον ἐδάφιον ἕως τέλους οὕτως ἔχει· τῇ Γαληνότητί σου ὑγείαν καὶ τὴν τῶν ἐφετῶν ἐκπλήρωσιν τῶν πρὸς σωτηρίαν, καὶ πᾶσι τοῖς περὶ σὲ μεγαλειοτάτοις Συμβούλοις τε καὶ λοιποῖς· καὶ ἡ χάρις αὐτοῦ καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν, καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος. Ἀμήν.

(*) Ἡ διὰ μονοκονδυλίου γεγραμμένη ἐν τῷ παρόντι πρωτοτύπῳ Ἰνδικτιὼν ἐστιν ἀληθῶς ἡ ια᾽., ὡς ἔχει καὶ τὸ ἐν τοῖς Ἐνετικοῖς Ἀρχείοις σωζόμενον ἕτερον πρωτότυπον. Ἡ οὖν ια᾽. Ἰνδικτιὼν ἀντιστοιχεῖ τῷ 1583 ἔτει· καὶ εἰκότως (Βλ. Μελετ Ἐκκλησ. ἱστορ. Τ. Γ᾽. σελ. 402. §. 9)· ἄλλως γὰρ ἐγέγραπτο ἂν μῆνας ἑπτὰ πρὸ τῆς Γρηγοριανῆς τοῦ Καλανδαρίου καινοτομίας, γενομένης κατὰ μῆνα Ὀκτώβριον τοῦ 1582 (Βλ. Calendarium Gregorianum perpetuum κτλ. Venetiis. 1582. εἰς 8.ον). Καὶ ἡ μνημονευθεῖσα δὲ ἰταλικὴ μετάφρασις φέρει· Il mese di Febbraro 1582 M. V. (τουτέστι, more veneto), ὅπερ δηλοῖ τὸ 1583· διότι τὸ νέον διοικητικὸν ἔτος ἠρίθμουν οἱ Ἐνετοὶ, Μαρτίου μηνὸς ἀρχομένου. Διορθούσθω λοιπὸν ὁ τῆς Ἰνδικτιῶνος ἀριθμὸς Γ., ὃν ὁ φίλτατος Σ. ὁ ἐξ Οἰκονόμων, (Βίος Γρηγορίου, ὡς ἀνωτέρω) ἐξέδωκεν ἐξ ἀντιγραφῆς, ἣν ἔπεμψα τότε πρὸς αὐτὸν ὁ διαμαρτὼν ἴσως ἐγώ.

SISMANOGLIO

# Δ᾽.

## Τοῦ αὐτοῦ Πατριάρχου Ἱερεμίου.

*Ἴσον τοῦ πεμφθέντος γράμματος τῷ Φιλαδελφείας καὶ τοῖς τοῦ ναοῦ τοῦ ἁγίου Γεωργίου ἐφόροις, δι᾽ ἣν ἀπέστειλαν ἀναφορὰν ζητοῦντες περιαιρεθῆναι τινὰ τοῦ τριῳδίου, καὶ δεχθῆναι τὸ πάσχα ὅπερ ἐκαινοτόμησαν οἱ ἰταλοί.*[1]

Ἱερώτατε καὶ σοφώτατε μητροπολῖτα φιλαδελφείας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη ϗ ἔλεος παρὰ Θεοῦ παντοκράτορος ϗ κυρίου ἡμῶν Ἰησοῦ

[1] Ἐκ τοῦ Δοσιθέου Ἱεροσολύμων Τόμ. Ἀγάπης, σελ. 540-541.— Τὸ πρὸς τὸν Δοῦκα Νικόλαον Δαπόντε προηγούμενον Πατριαρχικὸν Γράμμα οὐ φαίνεται μὲν ἐξαρκέσαν πρὸς κατάπαυσιν τῶν σκοτίων τῆς Ῥώμης ἐπιχειρημάτων, καὶ ἧς ἐφίετο τυχεῖν παραδοχῆς ἡ Ἐνετικὴ Δημοκρατία, τοῦ Γρηγοριανοῦ, δηλονότι, Καλανδαρίου, παρά τε τῶν ἐν Ἀνατολῇ Ὀρθοδόξων ὑπηκόων αὐτῆς, καὶ κυρίως παρὰ τῶν ἐν Βενετίᾳ μετοίκων Ἑλλήνων. Ἡ γὰρ Γερουσία πρὸς τὸν ἐν Ῥώμῃ πρέσβυν αὐτῆς οὕτως ἐπέστελλε τῇ 26 Ἰανουαρ. 1584 (ἔθ. βενετ., τουτέστι 1585): «Il medesimo ragionamento che fece con voi il Pontefice in proposito del Calendario, è stato tenuto con noi dal detto R.mo Nunzio, al quale habbiamo risposto esser impossibile, che i Greci di questa città (τῆς Βενετίας δηλονότι) si risolvino di far cosa che non sia fin hora stata ammessa dal Patriarca in Costantinopoli, dal quale dipendono, ma che sarà fatto con loro ufficio tale, che procederanno nelle loro cerimonie secretamente, et con quiete, et che quest' anno particolarmente non haveranno occasione di dare scandalo per la Quaresima, la quale viene ad incontrarsi colla nostra, di che ancor noi sentimo satisfatione, essendo questa una delle più prin-

Χριστοῦ, ἅμα τοῖς χρησίμοις καὶ εὐγενέσιν ἀνδράσι καὶ ἐφόροις τοῦ ἐν Ἐνετίαις ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου τῶν Γραικῶν, καὶ τοῖς λοιποῖς αὐτόθι μετοίκοις τῶν γραικῶν πανοικεσίᾳ. Τὴν ἀναφορὰν ὑμῶν λαβόντες καὶ ἀναγνόντες, ἐπῆλθεν ἡμῖν θαυμάσαι, οὐ μήν, ἀλλὰ καὶ μέμψασθαι (οὐκ ἀπεικότως) καὶ μάλιστα σὲ τὸν προϊστάμενον τῷ περιουσίῳ τοῦ κυρίου λαῷ, ἅ τε καὶ πρότερον περὶ

cipali azioni di tutto l' anno. A che esso Mons.r Nunzio mostrò d' acquietarsi κτλ. (Ἐνετικ. Ἀρχ. *Roma, Registro N.° V.*) Κατὰ δὲ τὴν 9. Μαρτίου τοῦ αὐτοῦ ἔτους ἔγραφε πρὸς τὸν πρέσβυν πάλιν ἡ Γερουσία· Quanto all' instantia fattavi intorno al Calendario lauderete, et ringrazierete medesimamente Sua Santità dell' intentione che ha, che nella publicazione di quello si proceda quietamente et pacificamente; poi le direte, che d' altrettanto contento sarebbe a noi, per li rispetti che le possono esser ben noti, quanto di satisfatione a Sua Beatitudine, che in Candia i Greci si unissero quanto più fosse possibile colli Latini; ma che essendo quelle genti molto costanti nelli loro riti et cerimonie, ogni tentativo che si facesse riuscirebbe non solamente vano, ma potrebbe ancora dar occasione di qualche moto d' importantia; con tutto ciò ascoltarete quanto ve ne diranno l' arcivescovo di Candia et il vescovo di Anagni (δυτικοὶ ἀμφότεροι), i quali, et ciò sia detto per istruzion vostra, credemo che habbiano empito il Pontefice di speranze di buona riuscita in questo negotio, sebbene con pochissimo fondamento; nel qual proposito volemo che sappiate parimenti per vostra istruzione che havendo il R.mo Nuncio fatto ufficio con noi perchè operiamo che dai Greci di questa città (τῆς Βενετίας) sia osservato il Calendario, gli abbiamo risposto esser impossibile il potere senza il consentimento del loro Patriarca ottener cosa ancor che minima in questa materia; tuttavia per l' instantia, che ci ha fatta, habbiamo deputati doi Savj del Collegio nostro, che ascoltino alcuni Greci, i quali sua Sig.a Rev.ma ha detto che si lascieranno intendere di esser pronti a conformarsi con Latini, sebbene fin hora non ve n' è comparso alcuno (Αὐτόθι. *Roma Registro N.° VI.*)

Ἐπὶ προφάσει δὲ τῆς παραδοχῆς τοῦ καινοτομηθέντος Καλανδαρίου, μᾶλλον δὲ προτροπῇ τῆς ἐν Βενετίᾳ προσλιπαρούσης



τοιούτων γράψαντα καὶ μὴ εἰσακουσθέντα. Τί ἔτι τῶν αὐτῶν ἀπρὶξ ἐχόμενος καὶ δεύτερον ἠνέσχου γράψαι; ἡμεῖς γάρ, οὐ τούτων ἕνεκα δίδοσθαι λόγον παροικεῖν ἐν ἐνετίαις παρεχωρήσαμέν σοι, ἀλλ' εὐλογεῖν μόνον καὶ ἁγιάζειν τὸν ἐν αὐταῖς χριστώνυμον λαόν, καὶ τὰ ἀρχιερατικὰ ἐκτελεῖν. Τὸ δ' ἐρωτῶντα τὸν μακαριώτατον πάπαν τῆς πρεσβυτέρας ῥώμης καὶ ζητεῖν παρ' ὑμῶν λόγων

παπικῆς Πρεσβείας, ἀπέβλεπεν ἡ ἐνετικὴ Διοίκησις πρὸς ἕνωσιν Ἐκκλησιῶν. Καὶ δὴ καὶ ἐπὶ τούτῳ τὸν παρὰ πᾶσι τοῖς Ὀρθοδόξοις τιμώμενον, καὶ ὄντως τῆς Ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας πρόμαχον, ἱερώτατον Φιλαδελφείας Γαβριὴλ, ἐπειρᾶτο προσεφελκύσαι διὰ Φριδερίκου τοῦ Κονταρήνου, Ἐπιτρόπου (Procuratore) τοῦ ἁγίου Μάρκου, καὶ ἑνὸς τῶν ἐν τῷ Ἱεροδικείῳ συμπαραστατούντων Εὐπατριδῶν· ὧν μὴ παρόντων, εἰς οὐδὲν οὐδέποτε ἀπέβαινον αἱ πράξεις τοῦ Ἱεροδίκου (Βλ. Amelot de la Houssaye, *Storia del governo di Venezia.* Colonia, 1681. Μέρ. Β'. σελ. 151 καὶ ἑξῆς). Ἄλλοθεν δὲ ὁ Σεβῆρος, ἵνα μὴ προσκρούσῃ τῇ γνώμῃ τῆς Διοικήσεως, παρ' ᾗ καὶ μεγάλως ἴσχυε, καὶ ὑπὲρ τῶν ὁμοδόξων πιστῶν πολλάκις δεόμενος εἰσηκούετο (Βλ. τὸ ἡμέτερον Ὑπόμνημ. σελ. 68.), ὑπέδειξεν ἑαυτὸν ἐπιρρεπῆ πρὸς τὸ τῆς προτάσεως ταύτης ἐπίβουλον, προβαλλόμενος ἐν τοσούτῳ (κατάλληλον δῆθεν ἀναβολῆς αἰτίαν) τὴν ἀπὸ Ῥώμης ἀφαίρεσιν ἐκ τῶν ἐκκλησιαστικῶν τευχῶν ῥημάτων τινῶν, ἀδικούντων τούς τε Γραικοὺς καὶ τοὺς Λατίνους. Καὶ ταῦτα μὲν διὰ τοῦ ἐν Ῥώμῃ Πρέσβεως διεδηλώθησαν τῷ Καρδινάλει Ἰουλίῳ Ἀντωνίῳ τῷ Σαντορίῳ, τοὐπίκλην Σάντα Σεβερίνα, πρὸς ἡδονὴν τοῦ Ποντίφικος· ὁ δὲ Ἱεροδίκης κατεσιγάσθη. (Ἐνετ. Ἀρχ. Dispacci all' Ambasciata di Roma 5 Maggio καὶ 28 Luglio 1590). Ἀλλ' ὁ Σεβῆρος ἀμέσως, καὶ αὖθις καὶ μάλα, περὶ τῶν γεγονότων ἐπέστειλε πρὸς τὸν Οἰκουμενικὸν Θρόνον, ζητῶν μὲν παρὰ τῆς ἀμωμήτου αὐτοῦ Μητρὸς τὴν ἀπαραίτητον ἄδειαν, προπεπεισμένος δέ, ὡς ἐπιστολὴν παρ' αὐτῆς κομισθείη, οὐ μόνον τὰ τοιαῦτα διακωλύουσαν, ἀλλὰ καὶ αὐτὸν βαρέως ἐπιπλήττουσαν τὸν αἰτήσαντα· ἣν καὶ λαβών, ἐχρήσατο, ἀρίστῃ, ὡς εἰκός, προφυλακῇ ἐνώπιον τῆς ἐνετικῆς Διοικήσεως καὶ τῶν παπικῶν ἀξιώσεων, αἵτινες, διὰ τῆς ἐντεῦθεν πηγασάσης Πατριαρχικῆς Ἐπιστολῆς, παντάπασιν ἐματαιώθησαν.

(ἴσ. λόγον) ὧν γράφετε, εἰς τοῦ (ἴσ. τὸ) πορρωτέρω οἶμαι τὴν ἐρώτησιν προβῆναι. Προσεχέστερον δ' ἂν εἴη ἡμᾶς ἐρωτῆσαι, καθάπερ δὴ ὁ πάπας κύριος Γρηγόριος φαίνεται οὕτω πεποιηκώς· κἀκ τούτου δῆλον, ὅτι κἀκεῖνος περὶ τῆς τοῦ πάσχα διαφορᾶς ἔφθασε γράψας ἡμῖν· ᾧ καὶ τὴν ἀπολογίαν ᾗ δυνάμεως τηνικάδε εἴχομεν δόντες, πρός τε τὸν ἐκλαμπρότατον καὶ γαληνότατον σεννάτον τῶν ἐνετῶν ὡσαύτως· [1] ἔμεινε τὰ πράγματα ἐν εἰρήνῃ ἄχρι τοῦ νῦν καὶ ἡσυχίᾳ. Γράφετε οὖν ἤδη ὅτι εἰσβαλεῖν μερικὰ θέλει ἡ δυτικὴ ἐκκλησία τῶν βίβλων τῆς ἀνατολικῆς, τὰ δὲ σαφηνισθῆναι· ἀλλ' ἡ καθ' ἡμᾶς ἐκκλησία νεωτερίζειν καθοιονδήτινα τρόπον οὐκ εἴωθεν, ὥσπερ δ' αὖ τῇ δυτικῇ ἔργον ἄπαυστον τοῦτό γε· ᾧ καὶ αὐτοὶ ἑπόμενοι καὶ ἀφύκτως ἀντιποιούμενοι οὐ τολμῶμεν (ἄπαγε) εἰσβαλεῖν τὶ, ἢ σαφηνίσαι κατὰ τὸν ἐκείνων σκοπὸν, ἢ τῶν παλαιῶν βίβλων περιαιρεθῆναι, τὸ δὴ λεγόμενον, κἂν μίαν κεραίαν. Οὕτως ἡμεῖς δεδιδάγμεθα καὶ οὕτω γνώμης ἔχομεν ὑπείκειν καὶ ὑποτάττεσθαι τοῖς προγενεστέροις· ἀλλὰ καὶ τοὺς ὑπὸ τῆς ἡμῶν μετριότητος τοιούτους ὀφείλεται εἶναι. Περὶ δὲ τοῦ πάσχα γράφετε δοθῆναι ἄδειαν συνεορτάζειν καὶ συμπασχάζειν τοὺς ἐν ἐνετίαις μετοίκȣς τῶν γραικῶν τοῖς ῥωμαίοις. Ὅμως τοῦτο καὶ μέχρι (εἰπεῖν) ψιλῆς ἐπινοίας ἐφικέσθαι ἡμῖν οὐχ οἷόν τε, σχολῇ γ' ἂν στέρξαι καὶ γράψαι, καὶ ἀποφήνασθαι. Οἴδατε γὰρ καλῶς, ὅτι τὸ σχίσμα καὶ ἡ διάστασις τῶν δύο ἐκκλησιῶν, οὐκ ἐπὶ τῆς ἡμετέρας συμβέβηκε Πατριαρχίας ἵνα ὦμεν ὀφειλέται, ἅτε τὸ ἡνωμένον διαζεύξαντες καὶ τὸ διεζευγμένον ὡσαύτως ἑνῶσαι· ἀλλὰ πρὸ

[1] Ὅρ. σελ. 6. — καὶ Σ. Οἰκονόμ. ὑποσημειώσιν εἰς τὸν ῥηθέντα Βίον Γρηγορίου, σελ. 58.



χρόνων ἱκανῶν ἡ ῥωμαϊκὴ ταῖς καινοτομίαις οἰϛρηλαθεῖσα, μένει οὐ μόνον ἀμεταστρεπτὶ, ἀλλὰ καὶ διαφόροις ἐπιδόσεσιν αὔξουσα τὴν διάστασιν, ὡς τοῖς πᾶσι δῆλον· καὶ μάλιστα ἤδη γέγονε καταφανές· ἀλλ' οὐδ' οὕτως εἴχομεν σκάνδαλον, οὔτε θέλομεν ἔχειν μετ' αὐτῶν. Εἰ δ' αὐτοὶ, ὡς ἐκ τῶν γεγραμμένων ὑμῖν τεκμαίρεται, σκοπὸν ἔχουσιν ἐνοχλῆσαι ὅπερ (οἶμαι) ἀπίθανον, φέρειν ὀφείλετε· ὁ μὲν γὰρ παρὼν καιρὸς, ὀδυνῶν καὶ θλίψεων, ὁ δὲ μέλλων χαρᾶς καὶ ἀνταποδόσεως. Μένε τοιγαροῦν ἐν τῇ ἑνότητι τοῦ Πνεύματος, ἱερώτατε ἀδελφὲ, τῇ μητρί σου καὶ τῷ δικαίῳ χαριζόμενος, τοὺς ὀλιγοψύχους παραμυθούμενος, τοὺς ἀσθενοῦντας τῇ πίστει προσλαμβανόμενος, τάς τε παραδόσεις τῆς ἐκκλησίας ἀπρὶξ κατέχων, τὸ διδάσκειν ἐλευθέρᾳ φωνῇ καὶ γεγωνοτέρᾳ κατ' οὐδὲν ἀποστρεφόμενος, εἴ γε ὑφ' ἡμῶν μικρὸν ἐνύγης· πατρὸς γὰρ ἐπιτίμησις, ἡδὺ φάρμακον, ἅ τε πλέον ἔχον τοῦ δάκνοντος τὸ ὠφέλιμον. Ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη σοι.

Ἐγράφη κατὰ τὸ ζϙϛ'. Ἰουλίου ϛ'. Ἰνδικτιῶνος γ'. [1]

[1] Ἡ μὲν Ἰνδικτιὼν γ'. ἰσοδυναμεῖ τῷ 1590, ὅπερ καὶ ἐκ τῶν ἐγγράφων τῆς Γερουσίας φαίνεται· τὸ δὲ ἔτος τοῦ κόσμου ζϙϛ'., ἔσφαλται παρὰ Δοσιθέῳ· ἀντὶ δὲ τούτου, γραπτέον, ζϙη'.

# E'.

## (Εἰς χάρτην)

# CYRILLUS

### PER DEI MISERICORDIAM PATRIARCHA CONSTANTINOPOLITANUS [1]

Magnifici et Prudentes Viri, in Christo Domino Nostro Jesu Dilectissimi post Salutem, et Apostolicam Benedictionem. alcuni mesi sono che habbiamo scritto alla Carità vostra littere di Beneditione, per uno Religioso, persona di dottrina, e molto bene a voi nota chiamato Theofilo Coridallo Atheniense, [2] qual mandassimo costi per bisogno nostro, nè habbiamo nuova, se sia costi in sin hora arrivato. per lui habbiamo tutti voi benedetto conforme l'amore Paterno nostro. nè pensavo per hora replicar-

[1] Ἀκυροῦται διὰ τῆς Ἐπιστολῆς ταύτης (αὐτογράφου παρ' ἐμοὶ σωζομένης) τοῦ παντλήμονος Πατριάρχȣ Λουκάρεως, ἣν ὁ Φιλαδελφείας Θεοφάνης ὁ Ξενάκης (περὶ οὗ ἐν τῷ ἡμετέρῳ Ἱστορ. Ὑπομν. σελ. 72) καθαίρεσιν ἐποιήσατο τοῦ αὐθαδιάσαντος ἱερέως καὶ ἐφημερίου Μάρκου Γλιασῆ· ἐξ ἧς φατρίαι ἐγένοντο καὶ διχόνοιαι πολλαὶ ἐν τοῖς ἐνταῦθα Ὀρθοδόξοις. — [2] Θεόφιλος οὗτος ὁ Κορυδαλεὺς (ὁ ἐν μοναχοῖς ὕστερον Θεοδόσιος)· ὁ τοῦ ἀσεβοῦς ἐν Παταυΐῳ ἰταλοῦ καθηγητοῦ Κρεμονίνου γενόμενος μαθητὴς, φιλοσοφίαν καὶ αὐτὸς μετελθὼν, καλβινίζων τὸ φρόνημα καὶ βλασφημῶν· ἐν Βενετίᾳ διδάξας τῷ 1609 (ἐν Ἱστορ. Ὑπομνήμ. σελ. 106) καὶ ἐν Κωνσταντινουπόλει (1624) καὶ ἀλλαχοῦ· εἶτα Μητροπολίτης Ναυπάκτου καὶ Ἄρτης προχειρισθείς· τέλος δὲ παρὰ τῆς Μ. Ἐκκλησίας ἐκβληθεὶς, καὶ ἐν Ἀθήναις ἀποβιώσας ἐν ἐσχάτῃ πενίᾳ. (Πρβλ. Δοσιθ. περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχ. σελ. 1171-1172 — Σάθα, Νεοελ. Φιλολ. σελ. 250. — Προσθήκας καὶ διορθώσεις εἰς αὐτὴν τοῦ ἐσχάτως (Ὀκτωβρ. 1872), ἀωρὶ ἁρπαγέντος εὐσεβοῦς καὶ πολυμαθοῦς ἀρχιμανδρ. Ἀ. Δημητρακοπούλου σελ. 41, καὶ ἄλλους.)



vi, se l'occasione non mi muovesse di novo ciò fare. nè vi dovete maravigliare se vi scrivo in italiano et non in greco come con voi si ha fatto sempre. questo faccio perchè fu qui parlato cosa che non la voglio credere che li nostri Brevi costi mandati per il passato quando si facevano interpretare, si traducevano al libito delli interessati, et non al senso proprio, che forse non gli aggradiva: ma non siamo curiosi intorno ciò intender altro, sapendo che dove si è raggione verità et sincierità, e sopra tutto prudenza de magistrato, non ha forza, nè puo bisbigliare l'astutia humana. Habbiamo dunque voluto scrivervi, molto sollicili del stato della fraternità vostra, puoichè pervene nelle nostre orechie, che tra voi sono discordie e dissensioni, nè si è quella unione di animo, che è conformi al bel nome che vi atribuite della fraternità. ma quello più mi fa meravigliare si è, che intendo che costi alcuni di voi con puoco sinciera conscienza, hanno ardito sedur gli animi di molti, persuadendogli credere, che l'annulatione, e taglio della sententia fatta contra papa Marco dal Mons.r Arciv.° habbia causato questa discordia tra voi, con additione, che noi proteggiamo esso papa Marco per restituirlo all'officiatura di s. Georgio. per il che non vogliamo perder tempo a disputare, per mostrar quanto questo pensiere da buoni spiriti ritrovato sia lontano dalla verità. nè per tal causa devo dar conto a voi. ma perche l'interessati con vaghi colori di belle parole formano una falsa imagine del mio animo, o pur dell' auttorità Nostra e la rapresentano alla Sereniss.a Republica, a me questo non puo esser grato, anci, di molto dispiacere, che più stimamo di tutte le cose temporali, che Iddio benedetto ci ha donato, la Gratia del mio Benigniss.° Principe, sotto il quale sono nato, come tutti voi, e al quale sono stato sempre, se non con esperienza non havendolo rapportato l'occasione e il tempo ma al meno nel cuor e nell'animo Devotiss.° e fideliss.° senza punto risguardare che in alieni stati ho vissuto, o vivo con qualche favore della fortuna. Hor dunque perche si conosca la presuntione delli interessati non haver fondamento, vogliamo in Charità, senza prolissità, revelarvi, se non habbiate voi in sin hora penetrata la causa che mi ha sforzato tagliar la sententia,

giustificar papa Marco e restituirlo nel sacerdotio. Primamente per legge Divina, et humana, come bene sapiate, niun delitto si può doppiamente castigare. si vede bene per leggi civili che un huomo per enormità de delitto si bandisca, e gli si confeschino i beni che paiono due pene e duoi castighi, ma non hanno risguardo eguale, perche l' uno risguarda directe il delitto comesso, e l' altro la disobedienza. Onde si ritruova sempre esser verità istessa, quel precetto d' Iddio Benedetto, che non si deve punire doppiamente il reo, e questo è più che chiaro: Hora pappa Marco per una letera scritta o supplica fatta alla Charità vostra nella quale come dicono li suoi adversarij haveva usato parole fuori di termini contra il Mons.r Arciv.o fu da voi con tanto rigor, e senza admissione di defesa così maltrattato, puoiche sopratutto tosto sententiaste che la letera fosse in mezo della Chiesa abrusciata si che non restasse memoria, e che papa Marco fosse privo di officiare alla Chiesa di s. Georgio. Tutto vogliamo che sia benfatto, si bene si sono alcune considerationi di momento in favor di papa Marco. ma quello lascio a quelli che prendono il suo patrocinio, e præsupponiamo che lui fosse degno di questa pena e che la Charità vostra l'ha giustamente condenato; a che fine poi il Mons.r Arc.o senta (τουτέστι, sententia) nel suo Tribunale dove è solito a giudicare che queste sono formali parole nella sua sententia, e prepone il timor d'Iddio inanti gli occhi e condanna di nuovo esso papa Marco, lo degrada del sacerdotio e lo depone? revocat iterum la memoria della scrittura che la Charità Vostra ha giudicato degna di perpetua estintione. E condannato che (γρ. chi) prima fu condannato, offende nel præcetto Divino et humano, che come ius gentium si osserva universalmente, e quel che è più, fa quello non può fare de iure. non essendo di lui degradar sacerdote. non uno ma più almeno prælati in caso della degradatione riconoscono la causa del Sacerdote come nel iure Can. II quest 3, Si Episcopus forte iracundus. e degradato non si può revocar in grado, che per dispensa Patriarchale. ma per deciderla senza più altro dilatarmi, papa Marco per una parola di puoco momento, corripi poterat, degradari non poterat. che haverebbe molto avanzato il Mons.r Arciv.o se in questo pro-

SISMANOGLIO



posito si havesse governato non con il suo, nè delli suoi complici, ma con il parere di s. Gregorio in Canone 23. quest. 4 inter querelas. che non vi voglio citare per hora Padri Orientali, ma l' istesso Iure Canonico, sapendo che alcuni di voi ne hanno pratica. dice dunque quel santo scrivendo a un vescovo: Inter querelas multiplices Isidorus vir Clarissimus a fraternitate tua frustra se excommunicatum anathematizatumque conquestus est quod ob quam rem factum fuerit dum a Clerico tuo, qui præsens erat voluissemus addiscere, pro nulla alia causa, nisi pro eo, quæ te inueriaverat, (γρ. injuriaverat) factum innotuit. quæ res nos vehementer affligunt. quod si ita est nil te ostendis de Cœlestibus cogitare, sed terrenam conversationem habere significas, dum pro vindicta propriæ iniuriæ, quod sacris Regulis prohibetur, maledictionem anathematis invexisti. Unde de cætero omninò esto circumspectus, atque sollicitus, et taliacunque pro defentione propriæ iniuriæ tuæ inferre denuò non præsumas. nam si tale aliquid feceris in te scias postea vindicandum. Così parla quel Santo. e noi da queste e simili altre considerationi mosi in conformità della raggione e delli Canoni giustamente habb.o annulato la sententia che degradava papa Marco. che se ha dato scandalo ad alcuni, li lassio portarsi con la loro conscienza, nè per questo si tralassarà mai far giustitia, perche non si habbi da scandalizar qual si voglia. Onde si vede che non puoteva l' assolutione di papa Marco per giusta causa far nasser discordia tra huomeni che discreti e sinceri sono, e voglio credere che la Sereniss.a Republica come sarà come conviene informata, non laudarà quelli, che il contrario senza verità, hanno ardito inferirgli: come anco per l' officiatura nella quale io mai non ho fatto pretensione voler restituire papa Marco sapendo li ordini della vostra fraternità li quali ancor noi approbamo e dessideramo che non li lassiate punto deteriore (ἴσ. deteriorare). nè voglio sopra questo dirvi altro. solo che voi in Christo dilettiss. sete oves non pastores, e delle cose Spirituali che a voi non apartengono dobbiate non esser troppo solliciti, ma mostrarvi sempre obedienti alle ammonitioni e salutar li præcetti di chi ha cura delle vostre anime: Vivete in timor d' Iddio e ringratiate

sua Divina Maestà che sotto un Dominio Christianiss.° e felicissimo liberi, siate dal Sereniss.° e Clementiss.° Principe non come sudditi stimati ma come figli abbrazati: ricognossiate tanta felicità dall' alta Providenza: e tentate al possibile non tralignare nè degenerare dalli vostri maiori che buoni Christiani sono stati scincieri nella conscienza, colmi di Charità e uniti con l' animo attendevano al governo di quella Chiesa, in gloria d' Iddio in laude et honore della Nation Græca, che a questo effetto la Gratia del Seren.° Principe e la benignità ve l' ha concessa con la Beneditione di Christo: S: N. e di questa Sedia che vi l' ha consacrata. Siamo certi che la prudenza vostra per l' a venire così farà, nè havera bisogno di altra insinuatione per procurare di rimuovere le cause delle discordie e dissensioni, che sono perniciose alle anime vostre. conservate la pace che più dolce cosa non può essere nella vita del Christiano. il che Dio: S: N. vi lo conceda e vi benedica per sempre.

Datæ in Aede Patriarchatus mense Ianuarij 1623.

Cyrillus Patriarcha Constantinopolitanus

Alla Fraternità di s. Giorgio
delli Greci dell' Inclita Città
di
Venetia

ϛ'.

(Εἰς χάρτην)

# ΚΥΡΙΛΛΟΣ

ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.[1]

Οὐδὲν οὕτως ἀναγκαιότερον, καὶ ἐπωφελὲς καὶ θεάρεστον κοινῶστε καὶ ἰδίως ἑκάστῳ, ὡς ἡ τῶν πνευματικῶς προϊσταμένων ἐπίσκεψις, καὶ προστασία, θείῳ ζήλῳ τε καὶ νόμῳ γινομένη τε καὶ ἐνεργουμένη· τῷόντι γὰρ τύπον σώζει Θεοῦ, τοῦ τὰ πάντα πρὸς σωτηρίαν φροντίζοντος, καὶ ὁδηγοῦντος, καὶ πάντα πρὸς τοῦτο καὶ ᾠκονομηκότος, καὶ πράττοντος. Ὅθεν καὶ ὁ καθηγητὴς τῆς σωτηρίας ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ θεάνθρωπος Λόγος δεῖγμα τῆς εἰς αὐτὸν ἐποιήσατο ἀγάπης καὶ γνώρισμα, τὸ τὰ αὐτοῦ λογικὰ πρόβατα ποιμαίνειν πρὸς τοὺς αὐτοῦ Μαθητὰς, καὶ ἀλληλοδιαδόχως πρὸς τοὺς μετὰ ταῦτα ἐπιθέσει καὶ τρόπῳ διαδόχους ἐκείνων γενομένους. Ἐπείπερ οὖν ϗ τῆς ἁγιωτάτης Μητροπόλεως Φιλαδελφείας ἄνευ γνησίȣ προστάτου καταλειφθείσης, ὡς τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος Μακαρίτου κυρίου Θεοφάνους 2 τὸ ζῆν ἀπολιπόντος, ἡ μετριότης ἡμῶν οὐ δίκαιον ἔκρινε μένειν αὐτὴν ἐπὶ πολὺ ἀπροστάτευτον, ϗ τὰ ἐκκλησιαστικὰ αὐτῆς τηνάλλως φέ-

[1] Ἐκ τοῦ Θησαυροφυλακ. τῆς Ἀδελφότ. Ἀριθ. 14. — [2] Τοῦ Ξεναχίου, δηλονότι· περὶ οὗ ὅρ. τὸ ἡμέτερον Ὑπόμν. σελ. 72.

ρεσθαι καὶ εἰκῆ, καὶ τὸν ἐν αὐτῇ τοῦ Κυρίου Χριστώνυμον λαὸν, ψυχικῶς διαφθείρεσθαι· συνδιασκεψαμένη οὖν συνοδικῶς περὶ αὐτῆς, εὗρε τὸν Θεοφιλέστατον Ἐπίσκοπον Κυθήρων κύριον Ἀθανάσιον Βαλεριανὸν, [1] ἄνδρα τίμιον καὶ εὐλαβῆ, καὶ τῇ κατὰ Θεὸν ἀγωγῇ καὶ συνέσει κεκοσμημένον, καὶ ὅλως πρὸ τῶν ἄλλων, ἱκανὸν καὶ ἄξιον τὴν ταύτης ποιμαντικὴν λειτουργίαν ἀναδέξασθαι. Καὶ δὴ ψήφων κανονικῶν γενομένων παρὰ τῶν κατευρεθέντων ἐνταῦθα ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας κυρίου Ἐπιφανίου, τοῦ Ἐφέσου κυρίου Μελετίου, τοῦ Ἡρακλείας κυρίου Ἰωαννικίου, τοῦ Ἀγκύρας κυρίου Λαυρεντίου, τοῦ Χαλκηδόνος κυρίου Παχωμίου, τοῦ Τορνόβȣ κυρίου Μακαρίου, τοῦ Ἀδριανȣπόλεως κυρίου Παρθενίου, τοῦ Ἰωαννίνων κυρίου Παρθενίου, τοῦ Διδυμοτειχίου [2] κυρίου Δανιὴλ, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ πρὸ τῶν ἄλλων ἐκλεγέντα τὸν Θεοφιλέστατον Ἐπίσκοπον ποτὲ Κυθήρων κύριον Ἀθανάσιον τὸν εἰρημένον Βαλεριανὸν, τοῦτον ἡ μετριότης ἡμῶν τῇ ἐπικλήσει καὶ χάριτι τοῦ παναγίου καὶ ζωαρχικοῦ ϗ τελεταρχικοῦ Πνεύματος, γνήσιον μητροπολίτην Φιλαδελφείας, λόγῳ μεταθέσεως κεχειροτόνηκε, καὶ ποιμένα πνευματικὸν, καὶ διδάσκαλον ἀληθῆ τοῦ ἐκεῖσε χριστωνύμου πληρώματος ἐγκατέστησεν. Ὀφείλει τοίνυν οὗτος ὁ ἱερώτατος μητροπολίτης Φιλαδελφείας κύριος Ἀθανάσιος καὶ ὑπέρτιμος, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς ϗ συλλειτουργὸς, παροικεῖν ἐν τῇ Ἐκκλησίᾳ τῆς ἀδελφότητος, τοῦ ἁγίου Γεωργίου τοῦ ἐν Ἐνετίαις, ὡς καὶ οἱ πρὸ αὐτοῦ, καὶ ἐπιλαβέσθαι πάσης τῆς ἐνορίας αὐτῆς, καὶ εἰσηγεῖσθαι καὶ διδάσκειν τὸν ἐν αὐτῇ τοῦ Κυρίου

[1] Βλ. Ὑπόμνημ. σελ. 74 — [2] Ἄλλως, Διδυμοτείχου.



χριστώνυμον λαὸν, ταῖς τε ἀπὸ γλώττης νουθεσίαις, καὶ ταῖς ἀπὸ τοῦ ἰδίου βίου χειραγωγίαις, πάντα τὰ ψυχωφελῆ καὶ σωτήρια δόγματα, καὶ ἀποστολικῶς εἰπεῖν, τοῖς πᾶσι τὰ πάντα γενόμενος, κατὰ τὸν μακάριον Ἀπόστολον Παῦλον, ἵνα πάντας ἢ τοὺς πλείω κερδήσῃ, καὶ σώσῃ· ἔχων ἄδειαν καὶ ἐξουσίαν ἱερουργεῖν αὐτόθι ἀκωλύτως μετὰ ϗ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους καὶ διακόνους χειροτονεῖν, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου προβιβάζειν ἀξίωμα, πνευματικοὺς πατέρας ἐγκαθιστῶν δι' οἰκείων ἐνταλμάτων, ϗ τἄλλα πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν ἀνεμποδίστως ὡς γνήσιος μητροπολίτης Φιλαδελφείας, καὶ ὢν καὶ καλούμενος, τηρῶν ἐν ἅπασι τοῖς ὑπ' αὐτοῦ πραττομένοις, τὴν κανονικὴν ἀκρίβειαν, καὶ τὰς ἐκκλησιαστικὰς καὶ νομίμους παραδόσεις, ὡς λόγον ἀποδοῦναι τῷ Θεῷ, καὶ τῇ ἡμῶν μετριότητι· [1] ὀφειλόντων δὲ πάντων τῶν εὑρισκομέ-

[1] Ἰδοὺ Πατριάρχης Κωνσταντινουπόλεως, Κύριλλος ὁ Λούκαρις, ἐν μέσῳ τῆς ἱερᾶς αὐτοῦ Συνόδȣ, ἐν ἔτει τῆς Πατριαρχείας αὐτοῦ τῷ ἐσχάτῳ, ἐννέα προϊστάμενος Ἀρχιερέων, ὁμοφώνως αὐτοῖς, παραινῶν τῷ Φιλαδελφείας Ἀθανασίῳ τηρεῖν ἐν ἅπασι τὴν κανονικὴν ἀκρίβειαν, καὶ τὰς ἐκκλησιαστικὰς καὶ νομίμους παραδόσεις, ὡς λόγον ἀποδοῦναι τῷ Θεῷ καὶ τῇ αὐτοῦ μετριότητι. Πότερον δὲ, ὀρθοδόξως φρονῶν, ἢ καλβινίζων, τοιαῦτα παρῄνει, συνομολογῶν καὶ συνυπογράφων τοῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς αὐτοῦ; Λεγέτωσαν οἱ αἱρέσεως ἔνοχον αὐτὸν ἀποδεικνύοντες, καὶ ἀποδιδόντες αὐτῷ τὴν ἐν Γενεύῃ φανεῖσαν μὲν λατινιστὶ τῷ 1629, ἑλληνιστὶ δὲ τῷ 1633 κακόδοξον ἐκείνην καὶ βλάσφημον Ὁμολογίαν, ἣν, ἐπ' ὀνόματι αὐτοῦ, κατὰ τῆς Ὀρθοδοξίας ἐσκαιώρησαν καὶ διέσπειραν οἱ τὰ πάντα φύροντες καὶ ταράττοντες ἀόρατοι τῆς Δυτικῆς κακοδοξίας στρατιῶται. Ὅσοι δὲ πάλιν ἐν τοῖς πρὸ ἡμῶν, καὶ ἐν τοῖς καθ' ἡμᾶς ἔτι χρόνοις, περὶ Κυρίλλου τοῦ Λουκάρεως συγγράψαντες (Ἀναμορφωτῶν δῆθεν καὶ Ἰησουϊτῶν μαρτυρίαις χρησάμενοι) οὐκ ἐπῃσχύνθησαν ἐν οὐδενὶ λογίζεσθαι τὴν ἐπὶ Θεοφά-

*νων ἐν τῇ ἐνορίᾳ ταύτῃ, ἱερωμένων κ̓ λαϊκῶν τὴν προσήκουσαν καὶ ὀφειλομένην αὐτῷ ἀπονέμειν τιμὴν, καὶ αἰδῶ, καὶ ὑποταγὴν καὶ εὐπείθειαν· καὶ ὑπείκειν καὶ ὑποτάσ-*

νους Ἱεροσολύμων τοπικὴν Σύνοδον, ἀθῷον καὶ ὀρθόδοξον τὸν Πατριάρχην κηρύξασαν (1630)· πρὸ δὲ πάντων, τὴν ἐπὶ τοῦ Μακαριωτάτου Δοσιθέου τεθρυλλημένην ἐκείνην τοῦ 1672, ἀναθέματι καθυποβαλοῦσαν τόν τε ῥηθέντα Καλβινικὸν λίβελλον, καὶ τὸν ἐπ' αὐτῷ ἐπιγραφόμενον συγγραφέα Κύριλλον τὸν Λούκαριν (συμφώνως πρὸς τὴν ἐν Κωνσταντινουπόλει γενομένην τῷ 1638, ἐπὶ τοῦ συναθροίσαντος αὐτὴν Πατριάρχου Κυρίλλου τοῦ Κονταρῆ, ἀξίου μὲν τῶν Ἰησουϊτῶν μαθητοῦ, ἀγρίου δὲ καὶ ἀσπόνδου ἐχθροῦ τοῦ Λουκάρεως, καὶ τὸν Οἰκουμενικὸν Θρόνον λῃστρικῶς ἀναβάντος) λεγέτωσαν οἱ τοιοῦτοι πῶς ἡ ἱερωτάτη ἐκείνη Σύνοδος ῥητῶς ἀπεφήνατο· » Κύριλλον τοιοῦτον Καλβινό-» φρονα οὐδέποτ' ἐγνώρισεν ἡ Ἐκκλησία. « Καί· « Μηδεμία ἀνύ-» ποπτος συγγραφὴ, ἢ καὶ ἰδιόχειρος ἐκείνου φαίνεται τοιοῦτον » καθομολογοῦσα, οἷον μαρτυροῦσιν οἱ ἀντίδικοι... Μάρτυρες δὲ » μύριοι, τὴν παῤῥησιαστικὴν εὐσέβειαν Κυρίλλου ὁμολογοῦντες, » καὶ μηδὲν αἱρετικὸν παρ' ἐκείνου πώποτε ἀκούσαντες· « Καί· » Ἐκεῖνοι μὲν τῆς αἱρέσεως αὐτὸν κοινωνὸν εἶναι διϊσχυρίζονται, » οἱ μηδέποτε εἰδότες αὐτόν· οὗτοι δὲ οἱ καὶ ἐνιαυτῶν » πολλῷ χρήματι ἐκείνῳ διακονήσαντες, καὶ εἰδότες πάντα τὰ » κατ' ἐκεῖνον, μὴ τοιοῦτον εἶναι ἀποφαίνονται· ἄρα, καὶ ἐκ » τοῦ μηδέποτε τινὶ τῶν Ἀνατολικῶν τοιοῦτόν τι εἰπεῖν τὸν Κύ-» ριλλον, καὶ ἐκ τῆς μαρτυρίας τῶν συνήθων ἐκείνῳ, οὐκ ἐγνώσθη » ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ πώποτε τοιοῦτος, οἷον εἶναι » βούλεται ἡ ματαιότης τῶν ἐναντίων. « (Πράξ. τῆς Συνόδ.) Ὅθεν καὶ τῆς μυσαρᾶς συκοφαντίας ἀπήλλαξεν ἡ Σύνοδος, διὰ τρανῶν ἀποδείξεων καὶ πραγμάτων, τὸν Οἰκουμενικὸν Πατριάρχην Κύριλλον. Λεγέτωσαν οἱ ἐναντίοι, πῶς ἀπὸ τῆς ἀναφανείσης τῷ 1629 καλβινικῆς Ὁμολογίας μέχρι τῆς τραγικῆς τοῦ Κυρίλλου τελευτῆς (27 Ἰουνίου 1638), ὁ Καλβινόφρων Κύριλλος (ἢ μᾶλλον Ψευδοκύριλλος) Λούκαρις, ὁ διὰ τῶν αὐτοῦ κακοδόξων Κεφαλαίων ἅπασαν τὴν Ἀνατολικὴν Ὀρθόδοξον Ἐκκλησίαν συνταράξας· ὁ κατὰ τῆς αὐτοῦ ἀμωμήτου Μητρὸς λακτίσας, καὶ ὁμολογήσας (ὡς λέγουσιν) ἑαυτὸν εἶναι πατέρα τῆς βίβλου· ὁ ὑπὲρ τὰ ὀκτὼ ἔτη μετὰ τὴν διάδοσιν τῆς δυσσεβοῦς Συγγραφῆς ἐπιζήσας, τῆς Ὀρθοδοξίας προδότης, μηδὲν γράψας



*σεσθαι αὐτῷ καὶ ὑπακούειν ἐφ' οἷς ἂν λέγῃ πρὸς αὐτοὺς, ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν καὶ στέργειν καὶ ἀγαπᾶν αὐτὸν ὡς ποιμένα πνευματικὸν καὶ διδάσκα-*

πρὸς ἀναίρεσιν, πῶς τρὶς ἀνέβη τὸν Οἰκουμενικὸν Θρόνον (ὁ αἱρετικὸς ἀφωρισμένος) συνοδικῶς προβιβασθεὶς ὑπὸ Ὀρθοδόξων Πατριαρχῶν, Μητροπολιτῶν, Ἐπισκόπων, διδάσκων ἐπ' Ἐκκλησίας, ἐνώπιον αὐτῶν καὶ παντὸς τοῦ χριστωνύμου λαοῦ, καὶ τῆς σωτηριώδους ἀληθείας τὸν λόγον εὐπαῤῥησιάστως ὀρθοτομῶν; Λεγέτωσαν οἱ ἐπὶ δυτικοῦ βήματος τὰ περὶ Κυρίλλου ἀνακρίνοντες, οἵα ὑπῆρχεν ἡ τῆς Ἀνατολικῆς Ἐκκλησίας τότε κατάστασις. Πολλῶν καὶ μεγάλων θλίψεων φορά· κακία Ποιμένων πατριαρχομανούντων· ποικίλαι τῶν ἑτεροδόξων μηχαναὶ καὶ δολοπλοκίαι, σύμμαχον ἔχουσαι (ὡς ὁ Οἰκονόμος φησὶ) τὴν βαρβαρότητα καὶ πλεονεξίαν τῆς τουρκικῆς δυναστείας, πρὸς ὑποσκέλισιν τῶν Ὀρθοδόξων· αὐτὸ δὲ τὸ τῆς θείας ἡμῶν Πίστεως σκάφος περικυκλούμενον ὑπὸ βιαίων κυμάτων διωγμῶν τε καὶ συκοφαντιῶν· ἐν δὲ τοσούτῳ πελάγει, μόνος μὲν καὶ ὑπὸ πάντων ἀπεγνωσμένος ὁ Πατριάρχης Κύριλλος, ἐπικαλούμενος δὲ βοήθειαν καὶ προστασίαν παρὰ ξένων Αὐλῶν, Ἀγγλίας τε, Βελγίου καὶ Σουηκίας, γενναίως ἀνθισταμένων πρὸς τοὺς ἐνεδρεύοντας Ἰησουΐτας. Ἰδοὺ πῶς ἐκεῖνος δι' ἐπιστολῆς (Βλ. *Frider. Sylburgii* Catalogus Graec. Biblioth. Vatican. Francofurti, 1702. Μέρ. Β'. σελ. 238) πρὸς τὸν Σουηκίας Βασιλέα Γουσταῦον Ἀδοῦλφον λαλεῖ·

Ante omnia Sacræ R. M. V. mediocritas nostra, in cordis Christiani sinceritate, humiliter ac demisse salutem impertit, Ejusque manus ardenti affectu deosculatur, precans Dominum Nostrum Jesum Christum pro incolumitate Augustæ suæ personæ, et immortali gloriosi Nominis sui conservatione. Literæ Sacræ Regiæ Majestatis Vestræ Nobis missæ per Excellentissimum Virum suum Consiliarium et Oratorem in isthanc Portam Othomanicam ablegatum, Dominum Paulum Strasburk non est quod dicamus, quanta nos lætitia affecerint. Deo Omnipotenti gratias egimus pro felici faustoque statu suo et quod tam distans a nostris regionibus, in variis arduorum bellorum discriminibus, adhuc de nobis fuerit solicita, ut congratulatione et auguratione

λον· ἡ γὰρ πρὸς αὐτὸν γινομένη τιμὴ καὶ εὐλάβεια, εἰς τὴν ἡμῶν μετριότητα διαβήσεται, καὶ δι' αὐτῆς εἰς Θεόν, οὗ τύπον σώζει ὁ ἀρχιερεὺς ἐπὶ γῆς· » ὁ ἀκούων γάρ φησιν,

nos refocillarit, recognoscimus hoc a Dei Misericordis Providentiæ, quæ sicut Sacram R. M. V. excitavit, ut pro divina sua gloria adversus fœdifragos Tyrannos militaret, ita se ample extenderet, ubi gloriam Dei promoveri erat necesse. Non audivimus nostro sæculo Serenissimos Reges Suecorum, antecessores Sacræ Regiæ Majestatis Vestræ, in istam Portam Othomanicam misisse Legatum, nunc primum vidimus, sed ita gloriosum, ita Ecclesiæ Christi Constantinopolitanæ utile, ut hoc totum referri debeat felicissimæ fortunæ Sacræ R. M. V. quam undique gloria et immortalitas comitatur. Et si vellemus ea omnia scribere, quæ hic acta sunt, liber esset scribendus, non epistola. Hoc tamen non missum faciam. Erat magnum Nomen Sacræ R. M. V. et ante adventum Domini Oratoris sui, quin celeberrimam famam virtutum suarum, feliciumque suorum progressuum in justissima causa, quam tuetur, Vir integerrimus et Prudentissimus Cornelius Haga potentissimorum D. D. Statuum Hollandiæ legatus, hic residens, super suos humeros quasi gerens, per Magnatum Regi Othomanico Intrinsecorum et Ministrorum discurrens domos et penetralia explicabat et prædicabat cum iis circumstantiis, quæ materiam status respiciunt, et jam erant capaces istius Portæ Ministri ante Oratoris Excellentissimi sui adventum, de variorum præliorum eventu et aliarum rerum successu prout isthic se habuerunt, disserere. At ubi appulit Excellentissimus Orator et Sacræ R. M. V. Consiliarius, Paulus Strasburk sapientissimè sua utens functione, materiam ampliavit et ita sua facundia auxit, ut ipsis hujusce Portæ Magnatibus jam constaret labores et progressus Sacræ R. M. V. esse miracula, et Dei potentiam pro sua gloria tuenda homini communicatam. Hinc est quod Aula Othomanica erga res Sacræ R. M. V. optime se affecerit, et ipse Rex contentus, Oratorem generosum suum pluris æstimaverit, multisque signis honoraverit, quibus nunquam alterius Regis et Principis legatum affecerit. Hoc multam insidiatoribus variis hic residentibus et aliis Massæ Pontificiæ hominibus peperit invidiam, quæ multas artes struere aggressa, retrocessit et cecidit confusa. Interea ab ista Papistarum invidia et nos maximas passi sumus



ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. «Πρὸς τούτοις, παρέχειν αὐτῷ εὐγνωμόνως τὰ συνήθη ἐκκλησιαστικὰ δι-

tentationes hoc tempore, quando Orator prudentissimus Sacræ R. M. V. sua authoritate Ecclesiam nostram Constantinopolitanam et me ipsum ab artibus istorum et aliorum falsorum fratrum, secreto a mandatis Jesuiticis pendentium, una cum Excellentissimo Viro Cornelio Haga, consilio et opera suâ defendit atque eripuit. Hoc totum a fonte bonorum Deo Opt. Max. et Sacra R. M. V. recognoscimus, cujus regalis potentia Divino brachio fulta in hasce usque partes pervenit. Conjecturet hinc Sacra R. M. V. nos reputari apud nostros adversarios, tanquam oves cædis, cum uno die integro pacem nobis dare nolint. Causa? quia eis non obtemperamus. Quod si enim eis crederemus, Scriptura sacra non est perfecta, nec sufficiens. Ecclesia Caput non habet Christum. Fides cærimoniis congesta fabula. Justitia Christiana non opus Salvatoris. Sacramentorum veritas annullata. Evangelium commentum humani cerebri. Idololatria sequenda. Tandem nemo salvari potest, nisi credat in eum, qui se facit Christum, cum non sit Christus. Quid aliud quæso isti homines a nobis quærunt, si ista intimant nobis, nisi ut conscientias nostras captivent et nos in præcipitium detrudant? Non possumus eis obtemperare; quærimus salutem animarum nostrarum in Jesu Christi vera fide, in Evangelio revelata, non in fabulis. Quo non contenti adversarii bellum nobis perpetuum indicunt; resistimus nos ad possibile eorum violentiæ, nec habemus post Dei et Domini nostri Jesu Christi protectionem qui in acie compareat et pro nobis militet, nisi Virum Excellentissimum cujus superius facta est mentio, Cornelium Haga, verum fidelem Jesu Christi promptum militem pro sua gloria. Talia habemus solatia in hisce partibus, ubi prævalet pontificia potentia. Sed consolamur scientes, quod exerceamur in nostra vocatione, in qua per Dei gratiam ovili nostro a Deo nobis concredito indesinenter ministramus et servimus Reipublicæ Christianæ, prout et Sacræ R. M. V. desiderare videtur. At de hisce ut me extendam inpræsentiarum non est opus. Satis aures Sacræ R. M. V. gravavimus cum nostra prolixitate. Quod ausi sumus, quia nimis confidimus in benignitatem et pietatem Sacræ R. M. V. cui, si voto nostro voluerit satisfacere

καιώματα· συντρέχειν τε αὐτῷ ἐν πάσῃ χρείᾳ ϗ ἀνάγκῃ εἰλικρινῶς, καὶ κατ' οὐδὲν ἀντιλέγεσθαι, ἢ ἐναντιοῦσθαι αὐτῷ. Εἰ δέ τις ἀντιπράττειν τολμήσει καὶ ἀντιλέγειν, ἢ

plura referet oretenus Excellentissimus suus Consiliarius Paulus Strasburk. Pro fine verò sciat Sacra R. M. V. quod nos minimi apud Deum assistimus pro sua salute, crebroque fores Divinæ Misericordiæ pulsamus, ut sanctâ suâ gratiâ personam Sacræ R. M. V. protegat, præveniat, et conservet in confusionem suorum hostium, consolationem fidelium, et restaurationem oppressorum et gloriæ Domini Nostri Jesu Christi promotionem et exaltationem. Amen.

Datæ Constantinopoli
1. (11.) Julii 1632.

Cyrillus Patriarcha
Constantinopolitanus.

Καὶ τοιαύτη μὲν ἦν ἐν Κωνσταντινουπόλει ἡ κατάστασις τῶν πραγμάτων· τοιαύτη δὲ καὶ ἡ τρομερὰ τοῦ πολέμου ὀρχήστρα, ἧς θῦμα ἐγένετο ὁ πολυπαθὴς Πατριάρχης Κύριλλος, καὶ ὑφ' ἧς πολλοὶ τῶν ἁπλουστέρων Ἀρχιερέων καὶ Κληρικῶν ἐξηπατήθησαν. Ἓν δὲ συνελόντες λέξομεν· Κύριλλος ὁ Λούκαρις, πολιτικῶς αὐτὸν θεωροῦντες, ἐπικουρίαν καὶ δύναμιν παρὰ τῶν ἰσχυρῶν Λουθηροκαλβίνων ἐξελιπάρει, πρὸς ἀπαλλαγὴν ἐκ τῶν τὰ πνευματικὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας πρόβατα θηρευόντων Ἰησουϊτῶν· ἴσως δὲ καὶ ἐπ' ἐλπίδι, παρὰ τὸ δέον ἐκολάκευσε. Κύριλλος δέ, ὁ σοφὸς καὶ Ὀρθόδοξος Κωνσταντινουπόλεως Πατριάρχης, Ἐκκλησίαν Ἑλληνοκαλβινικὴν οὐδέποτ' ἐφαντάσθη. Εἰ δὲ καὶ ὁ Ῥώμης Πάπας, ἐγκαταλειφθεὶς ὑπὸ πασῶν τῶν Δυνάμεων, συμμαχίαν Τούρκων ἐζήτει, ἆρα ὀπαδὸς τοῦ Μωάμεθ ὁ Πάπας; — (Βλ. Μελετίου τοῦ Συρίγου Ἀντιῤῥήσεις κατὰ τῶν Καλβινικῶν Κεφαλαίων· καὶ τὸ τοῦ Πατριάρχ. Δοσιθέου Ἐγχειρίδιον κατὰ τῆς Καλβινικῆς φρενοβλαβείας (ἐκδ. ἐν Ἰασίῳ 1690) — Μελετ. Ἐκκλ. Ἱστορ. Τ. Γ'. σελ. 446 καὶ ἑξῆς. — Μαθᾶ Καταλογ. Ἱστορ. τῶν Πατριαρχ. σελ. 190-202. καὶ ἄλλους τῶν ἡμετέρων πολλούς.)



κατά τι δι' ὄχλου γίνεσθαι αὐτῷ, ὁ τοιοῦτος, καὶ τῆς παρὰ Θεοῦ ὀργῆς καὶ ἀγανακτήσεως πεισθήσεται, καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιτιμίῳ καθυποβληθήσεται βαρυτάτῳ, ὡς αὐθάδης καὶ ἀλαζών, καὶ ἀνυπότακτος τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας. Τούτου χάριν καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος ἐπιδέδοται τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας κυρίῳ Ἀθανασίῳ Βαλεριανῷ ὑπερτίμῳ ἐξάρχῳ Πατριαρχικῷ, τῷ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ, καὶ συλλειτουργῷ, εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν. Ἐν ἔτει σωτηριώδει αῳ χῳ λῳ ζῳ Σεπτεμβρ. κβ'. Ἰνδ. ς'.

Ἐν μηνὶ Σεπτεμβρίῳ Ἰνδικτιῶνος ς'.

Ἡ πρᾶξις αὕτη ἐγένετο ἐν τῇ προβιβάσει τοῦ ἱερωτάτου Μητροπολίτου Φιλαδελφείας κυρίου Ἀθανασίου Βαλεριανοῦ, ὅταν ἤδη ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, ἐψηφίσθη καὶ ὠνομάσθη γνήσιος Φιλαδελφείας μητροπολίτης, παρόντων τῶν ὑπογραψάντων Ἀρχιερέων τῶν ἀδελφῶν καὶ συλλειτουργῶν. † Ὁ Κωνσταντινουπόλεως.

† Ἐπιφάνιος Καισαρίας [1] — † Ὁ Ἐφέσου Μελέτιος — † Ὁ Ἡρακλείας Ἰωαννίκιος — Ὁ Ἀγκύρας Λαυρέντιος — † Ὁ Τορνόβου Μακάριος — † Ὁ Χαλκηδόνος Παχώμιος — † Ὁ Ἀδριανουπόλεως Παρθένιος — † Ὁ Ἰωαννίνων Παρθένιος — † Ὁ Διδυμοτειχίου Δανιήλ.

[1] Γρ. Καισαρείας.

# Ζ'.

## (Εἰς χάρτην)

# ΠΑΡΘΕΝΙΟΣ

### ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. [1]

Χρησιμώτατοι, καὶ ἐπιφανέστατοι, οἱ ἐν τῇ θεοσώστῳ πόλει τῶν Ἐνετῶν, ὅ, τε γαστάλδος καὶ γοβερναδόροι, καὶ οἱ λοιποὶ εὐλογημένοι Χριστιανοὶ, υἱοὶ ἐν Κυρίῳ ἀγαπητοὶ τῆς ἡμῶν μετριότητος, χάρις εἴη Ὑμῖν, ϗ εἰρήνη ϗ ἔλεος παρὰ Θεοῦ παντοκράτορος, παρ' ἡμῶν δὲ, εὐχὴ ϗ εὐλογία, ϗ συγχώρησις. Ὁ τοῦ καλοῦ παντὸς πλουσιόδωρος Κύριος ἐφαπλῶν ἀγαθότητι ἐπὶ πάντα τὰ ὄντα ὁλικῶς, τὰς τῆς προνοίας αὐτοῦ ἀκτῖνας, διεξάγων ϗ διοικῶν οἷς οἶδε τρόποις καὶ ἐπίσταται μόνος τὸ πρὸς ἀξίαν πάντως ἑκάστῳ ἀπονέμων, οὐ τῇ φύσει μόνον ἀπένειμε νόμοις ἀῤῥήτοις ὅσα εἰκὸς, ὡς ἐξ ὑγροῦ φέρε ἑνὸς ὄντος, διάφορα τελεσιουργεῖν εἴδη, ἡλιακῆς δήπου περιθάλψεως κατὰ τοῦτο συντελούσης, ὡς ἂν μήτε Θεὸν, ἢ φύσιν μα-

1 Ἐν Θησαυροφυλ. τῆς Ἀδελφότητος, Ἀριθμ. 21. — Ἐπάνω δὲ τῆς Πατριαρχικῆς ἐπιγραφῆς, διὰ χρωμάτων φαίνονται εἰκόνες τέσσαρες στρογγυλοειδεῖς, τοῦ Σωτῆρος, δηλονότι, τῆς Θεοτόκου, τοῦ ἱεράρχου Νικολάου, καὶ τοῦ μεγαλομάρτ. Γεωργίου· ἐν δὲ τῷ ἀριστερόθεν περιθωρίῳ, τὸ τοῦ Φιλαδελφείας σιγίλλιον μετὰ τῆς ἐπιγραφῆς· Ἀθανάσιος Μητροπολίτης Φιλαδελφείας Ἔξαρχος Πατριαρχικός. (Ὅρ. σελ. 23.)

SISMANOGLIO



ταιοπονεῖν, ἀλλὰ πολλῷ μᾶλλον ὑψηλοτέρως καὶ ὑπὲρ πάντα λόγον τῇ Ἐκκλησίᾳ αὐτοῦ, ὑπὲρ ἧς τὸ ἴδιον αὐτοῦ αἷμα ἐξέχεε, καὶ ᾗ τινι χρῆται ὡς κεφαλὴ σώματι ὤν, τοῦ πληρώματος αὐτῆς, ὥστε ἀναζωπυρεῖν παρ' αὐτοῦ δωρεὰν λαχούσῃ περιθάλπειν ἅμα τὰ ὑπ' αὐτὴν τέκνα, φιλανθρώπῳ πάντως προνοίᾳ κινουμένη καὶ στοργῇ. . . . [1] Ἐντεῦθεν ἄρα καὶ τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην Ἐκκλησίαν, εἰς ταὐτὸ τοῦτο περιΐςασθαι ἀναγκαῖον, οἷα μητέρα πασῶν τῶν ὑπ' αὐτὴν Ἐκκλησιῶν καὶ τροφὸν, προνοεῖσθαι τούτων καὶ φροντίζειν ἐφ' οἷς ἐςι πρόσφορον, ὡσανείπως μιμουμένη ἢ ἑπομένη τῇ κεφαλῇ αὐτῆς, καὶ δαψιλεῖ φιλοτιμίᾳ, αὔξειν αὐτὰς ἀπὸ δόξης εἰς δόξαν, ἀπὸ βαθμῶν εἰς βαθμοὺς ἱερούς, ἀλλὰ μὴν καὶ ἀπὸ ἐπισκοπῶν, εἰς ἀρχιεπισκοπὰς καὶ μητροπόλεις καθιστᾶν, καὶ οἷα βασιλικῇ ἐλευθεριότητι προσέτι τιμᾶν καὶ μεγαλύνειν, καὶ ἐν ἱεροῖς ἀμφίοις, ἐπιγονατίῳ τε καὶ σάκκῳ, μίτρᾳ τε καὶ ὅσοις ἄλλοις κατακοσμεῖσθαι παρείληφε. Τοιγαροῦν καὶ ἡ μετριότης ἡμῶν παντοδυνάμῳ νεύματι τοὺς ἐκκλησιαστικοὺς οἴακας ἐπειλημμένη, ὡς καὶ βασίλεια προτέρως ἐπικεκοσμημένη, μετὰ τῶν λοιπῶν ἄλλων ὧν ἔχει διὰ φροντίδος, καὶ τὸν Φιλαδελφείας πάλαι μετατεθέντα ἐν ταύταις ταῖς κλειναῖς Βενετίαις θρόνον συνορῶσα, στερούμενον μὲν, τῶν διαφερόντων τοῖς Ἀρχιερεῦσι, πολὺ δὲ λειπόμενον τῆς ἀξίας αὐτῷ καὶ ἀνηκούσης τιμῆς, ἔγνω δεῖν ἀμείβεσθαι τοῖς ἐκκλησιαστικοῖς προνομίοις ὡς δώροις τισί, καὶ μὴ ἧττον φαίνεσθαι τῶν ἄλλων· χαριζομένη, τοῦτο μὲν, τῆς λαμπροτάτης ἕνεκα, καὶ γαληνοτάτης ἀρχῆς τῆς θεοφρουρήτου Βενετίας, τοῦ Ὑψηλοτάτου

1 Ἴσ. μητρικῇ· διέσχισται γάρ.

Πριγκίπου, καὶ πάσης τῆς αὐτοῦ Γερουσίας, ὑπερμάχου ὄντος καὶ φρουροῦ τοῦ ἡμετέρου γένους, καὶ κατὰ πάντα εὐλαβουμένου τὰ περὶ τὴν ἡμετέραν Ἐκκλησίαν θεσπιῳδούμενα, τοῦτο δέ, καὶ εὐφημίας πέρι τοῦ στάδου [1] αὐτῆς, καὶ κόσμου, καὶ ἀναπαύσεως αὐτῆς· γράφει διὰ τοῦ παρόντος, καὶ ἐν ἁγίῳ ἀποφαίνεται πνεύματι, εἰδήσει καὶ τῆς συμπαρουσιαζούσης ἀρχιερατικῆς ἀδελφότητος, ἵνα τοαποτοῦδε ὁ Ἱερώτατος ϗ λογιώτατος μητροπολίτης Φιλαδελφείας, ὑπέρτιμος καὶ ἔξαρχος Πατριαρχικός, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κύριος Ἀθανάσιος, ἢ ϗ ὁ κατὰ καιροὺς ἀρχιερατεύσων, ἔχῃ ἄδειαν πρὸς τοῖς ἄλλοις ἱεροῖς ἀμφίοις ἐν τῷ ἐπιτελεῖν τὴν ἀναίμακτον θυσίαν, μίτραν ἐπὶ κεφαλῆς φέρειν, καὶ προπεπικοσμεῖσθαι σάκκῳ, τὰ θεῖα μεταχειριζόμενος, καὶ πρὸς τούτοις κρίνειν, καὶ ἀνακρίνειν, καὶ ἀναθεωρεῖν πάσας τὰς συμπιπτούσας ἐκκλησιαστικὰς ὑποθέσεις, τῶν καθ' ἡμᾶς μὲν ἐκκλησιῶν, τελουσῶν δὲ ὑπ' ἐξουσίαν τῆς θεοφρουρήτου Ἀρχῆς τῆς Βενετίας, τῶν ἐν τοῖς ὁρίοις αὐτῆς, καὶ ἀπόφασιν κατὰ νόμους ἐκθέσθαι πρόσφορον, ὡς πρόσωπον ἐπιφέρων ἡμέτερον, ϗ Πατριαρχικὸς Ἐπίτροπος καὶ Ἔξαρχος, καὶ ὢν καὶ λεγόμενος· ἐκκλησιαστικῇ δὲ ἐξουσίᾳ πράττων, ὅσα πρὸς πνευματικὴν ὠφέλειαν συντείνει, καὶ κοινὴν διόρθωσιν· προτιμώμενος, καὶ εὐλαβούμενος ὡς φίλος Θεῷ τε, καὶ ἡμῖν· ἐπὶ γὰρ τούτῳ ἀπελύθη καὶ ὁ παρὼν Πατριαρχικὸς καὶ συνοδικὸς χρυσόβουλλος λόγος διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος, παρ' οὐδενὸς ὅλως ἐναντιουμένου, ἢ ἀντιτείνοντος ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας ἀσυγγνώστου,

[1] status, τῆς ἐπικρατείας, δηλαδή.



ϗ ἀφορισμοῦ ἀλύτου τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, ἐξ ἀποφάσεως. Ἐν ἔτει κοσμοσωτηρίῳ, α.$^{\varphi}$ χ.$^{\varphi}$ μ.$^{\varphi}$ δ.$^{\varphi}$

Ἐν μηνὶ μαΐῳ Ἰνδικτιῶνος θ'.

† Ὁ Ἐφέσου Μελέτιος † Ὁ Ἀδριανουπόλεως Παρθένιος † Ὁ Τορνόβου Μακάριος † Ὁ Ἡρακλείας Ἰωαννίκιος † Ὁ Βεῤῥοίας Ἰωαννίκιος † Ὁ Χαλκηδόνος Παχώμιος † Ὁ πρώην Νικαίας Πορφύριος † Ὁ Νικομηδείας Κύριλλος † Ὁ μητροπολίτης Φιλιππουπόλεως Γαβριὴλ † Ὁ Τραπεζοῦντος Λαυρέντιος † Ὁ Διδυμοτείχου Κλήμης. [1]

Noi Gio: Soranzo Cav.r per la Ser.a Rep.a di Venetia etc.
Bailo in Costantinopoli.

Attestiamo à chiunque vedrà le presenti, per quanto nella Canc.ria nostra hanno con loro giuramento affermato Don Pantaleo Ligaridi da Scio Dottor di Theologia, [2] et Padre Giorgi di Cipro, come le s.a scritte lett.re majuscule sono di proprio pugno di questo Rever.mo Patriarca di Costantinopoli.

In quor fide etc.

Dat. li 8 Giugno 1644.

Girolamo Soranzo Cav. Bailo.

[1] Κλήμης, ὡς ἔμοιγε δοκεῖ· ἀνερμήνευτον γὰρ τὸ μονοκονδύλιον. — [2] Παντολέων Λιγαρίδης, Χῖος, ἐλθὼν εἰς Ῥώμην, ἐπαιδεύθη φιλοσοφίαν καὶ θεολογίαν ἐν τῷ ἐκεῖσε Φροντιστηρίῳ τοῦ ἁγ. Ἀθανασίου, ὅπου καὶ ῥητορικὴν ἐδίδαξε, καὶ λογοκρίτης ὑπῆρξε. Λαυρέντιος ὁ Κράσσος (Istoria de' poeti Greci. Napoli, 1678. σελ. 536), λέγει περὶ αὐτοῦ » ὅτι ἐκ Ῥώμης μετέβη ὕστερον εἰς » Κωνσταντινούπολιν, ἐκεῖθεν δὲ εἰς Μολδαβίαν, ὅπου ζῇ (ὡς ἀ- » κούεται) Ἀρχιεπίσκοπος τοῦ Γραικοῦ φρονήματος » (ἐννοῶν αὐτὸν ἀποπτύσαντα τὴν λατινοφροσύνην). — Πλείονα περὶ τούτου ἀναγινώσκονται παρὰ τῷ παπιστῇ, Ροδοτᾷ Origine del rito Greco. Τόμ. Γ'. σελ. 208. (Πρβλ καὶ Φαβρικίου Biblioth. Graec. Τ. Ι'. σελ. 423. παλ. ἐκδ.).

# Η΄.

(Εἰς μεμβράναν)

## ΙΩΑΝΝΙΚΙΟΣ

### ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. (*)

Οἱ ἐν τῇ θεοφρουρήτῳ πόλει τῶν Ἐνετῶν εὐγενέστατοι ϗ ἐπιφανέστατοι, ὅ, τε γαστάλδος ϗ γοβερναδόροι, ϗ οἱ λοιποὶ εὐλογημένοι Χριστιανοί, υἱοὶ ἐν Κυρίῳ ἀγαπητοὶ καὶ περιπόθητοι τῆς ἡμῶν μετριότητος χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ παρ' ἡμῶν εὐχὴ εὐλογία καὶ συγχώρησις. Φύσει τὸ ὄντος καλὸν πρὸς ἑαυτὸ πάντας καλεῖν, καὶ μονονουχίπως ἐπισπᾶσθαι τοὺς ἐν γνώσει τὸ ζῆν ἔχοντας, καὶ ποδηγετεῖν πρὸς τὸ κάλλιστον εἴωθε· καὶ καλὴ μὲν ἡ τούτου κτῆσις, κάλλιστον δὲ ἡ

(*) Ἐκ τοῦ Θησαυροφ. τῆς Ἀδελφ., Ἀριθ. 15. — Ἐπιβεβαιοῖ καὶ ἐπεκτείνει ὁ Πατριάρχης διὰ τοῦ σπουδαίου παρόντος Χρυσοβούλλου τά τε προνόμια καὶ τὴν ἐξουσίαν τοῦ Φιλαδελφείας. Ἔστι δὲ εἰκόσι καὶ τοῖς ἄλλοις κεκοσμημένον, ὡς ἐκ τοῦ παρατιθεμένου φωτογράφου φαίνεται· ἡ δὲ σφραγὶς ἐπίχρυσος ἀπὸ χαλκοῦ. — Τούτου δὲ τοῦ ἐγγράφου καὶ ἕτερον πρωτότυπον σώζεται ἐν τῷ αὐτῷ Θησαυροφυλακίῳ, εἰς χάρτην, σφραγῖδα ἔχον, ὡς ἄνω, ἀπὸ σχοινίου ἐκκρεμῆ, φέροντος ἐν τῇ ἄκρᾳ σηρικὴν κροκίδα. Ἐπειδὴ δὲ καὶ τισιν ἀναγνωσμάτων παραλλαγαῖς, οὐκ οἴδαμεν ὅπως, διαφέρει τοῦ νῦν ἐκδεδομένου, οὕτω καὶ ταύτας ὑπετάξαμεν παρὰ πόδας.


ΙΩΑΝΝΙΚΙΟΣ ΕΛΕΩ ΘΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ
ΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΡΙΑΡΧΗΣ

τούτου συντήρησις καὶ διαμονή. καὶ γὰρ τὸ εἶναι μὲν, καλὸν, τούτου δὲ, τὸ εὖ εἶναι, ἄριστον· οὗ δὲ ἡ ἀϊδιότης μᾶλλον ἴδιον, καὶ ἡ ἀθανασία οἰκεῖον. Ὅθεν καὶ τῶν τῆς ἀρετῆς ἐπαινουμένων, ἔνεστι καὶ τὸ ἀναφαίρετον· ἐντεῦθεν καὶ ἡ ἀνακαίνησις (γρ. ἀνακαίνισις) δόμων ὑψηλῶν, εὐκτηρίων οἴκων θείων, [1] ἐντεῦθεν καὶ ἀνθρώπου προτροπὴ, γενέσθαι καινὸν ἀντὶ παλαιοῦ. Καὶ ἄλλην ἀνακαίνισιν ὡς ἀετοῦ μεμαθήκαμεν, εἰ καὶ ὑψηλότερα τὰ λεγόμενα, καὶ θείως νοούμενα, ἀλλ' οὖν ταῦτα πάντα ἐπὶ τὴν τοῦ καλοῦ ἀνανέωσίν τε καὶ ἀνακαίνισιν προσεμβιβάζουσι [2] πάντας τοὺς ὀξεῖαν ἔχοντας πνευματικὴν αἴσθησιν ἀκοῆς τε καὶ ὁράσεως. Ἀρχαῖον ἔθιμον καὶ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ νουνεχόντως καὶ προσφυῶς, οὐ μόνον ἱερὰ τεμένη ἀνακαινίζειν, ἀλλὰ καὶ γράμματα παλαιγενῆ, ὅσα τῆς ὀρθῆς ἔχονται διανοίας τῶν ἀοιδίμων πατριαρχῶν ἀνανεοῦν καὶ ἐπιβεβαιοῦν, καὶ τὸ νεαρὸν αὐτὸν ἀναδείκνυσθαι καὶ ἀειθαλλὲς, διὰ χάρτου αὐτῆς καὶ μέλανος καλιγραφικοῦ, (οὕτω), καὶ εἰς ἀϊδιότητα παραπέμπειν. Δόκιμον γὰρ καὶ ἐνάρετον, ἢ μᾶλλον θεάρεστον ὡς εἰπεῖν, καὶ τῇ ἡμῶν μετριότητι, μέριμναν ἐχούσῃ [3] πασῶν τῶν κατὰ μέρος ὑπ' αὐτὴν τελουσῶν ἐκκλησιῶν, καὶ περὶ πολλοῦ ποιουμένῃ, ὅσα εἰσὶν ἁγνὰ, καὶ ὅσα θεοφιλῆ κατὰ Παῦλον, καὶ ὅσα εὔφημα σπευδούσῃ κατὰ τὸ ἐνὸν, προσηνέχθη καὶ ἀπεκομίσθη ἴσον γράμματος τοῦ μακαρίτου ἐν Πατριάρχαις γέροντος κὺρ Παρθενίου ἐμμάρτυρον καὶ ἐνυπόγραφον σιγγιλλιῶδες, χρυσοβούλου [4] λόγον ἐπέχον, καὶ ἀναγνωσθέντος καὶ διαγνωσθέντος ἐπὶ συναινέσει καὶ

[1] Ἄνευ τοῦ, οἴκων. — [2] προσεμβιβάζουσα. — [3] Προστίθησι καὶ φροντίδα. — [4] χρυσοβούλλου.

παρουσίᾳ τῆς παρατυχούσης ἱερᾶς τῶν Ἀρχιερέων ὁμηγύρεως, ἀνεφάνη τὸ τῆς Ἐκκλησίας φιλόδωρον, καὶ τὸ τοῦ ὕψους αὐτῆς μεγαλόδωρον ἢ φιλότιμον, δαψιλῶς ἐπιβραβευούσης τὰ πνευματικὰ αὐτῆς καὶ θεῖα χαρίσματα, πρὸς οὓς ἡ πάνσοφος ἐκλογὴ τῆς θείας προνοίας, ἀξίους αὐτῆς ἀπεφήνατο τοῦ τοιούτου μεγάλου δωρήματός τε καὶ χαρίσματος, ὧν ἐστι καὶ τὸ ἐπικοσμηθῆναι τὸν ἱερώτατον μητροπολίτην Φιλαδελφείας κὺρ Ἀθανάσιον [1] ἐκκλησιαστικαῖς δωρεαῖς, πατριαρχικαῖς φιλοτιμίαις, μίτραν ἐπὶ κεφαλῆς ἐπιβεβλῆσθαι, σάκκον ἀμφιέννυσθαι ἐν τῷ τὴν ἀναίμακτον καὶ θείαν λειτȣργίαν ἐκτελεῖν, καὶ τῷ Πατρὶ τῶν φώτων προσφέρειν, παρεπομένως δὲ καὶ ὥςπέρ τινα ἄλλον σκοπὸν, τὰς ἐκκλησιαστικὰς ὑποθέσεις τὰς καθ' ἡμᾶς θεωρεῖν, διευθετεῖν κατὰ νόμους ἱεροὺς τὰς συμβαινούσας ἐπὶ πᾶσι τοῖς ὁρίοις τῶν κλεινῶν Ἐνετιῶν, τοῦτο μὲν χάριν [2] φιλοτήσιον τῆς ἐκλαμπροτάτης ϗ γαληνοτάτης ἀρχῆς τῆς θεοσώστου Βενετίας, τοῦ ὑψηλοτάτου καὶ μεγαλοδόξου πριγκίπου, καὶ πάσης τῆς περὶ αὐτὸν ἀξιωτάτης Γερουσίας· τοῦτο δὲ κατ' εὐφημίαν καὶ ἔπαινον τοῦ στάδου αὐτῆς, καὶ κόσμου καὶ ἀναπαύσεως. Ἐπὶ τούτοις δὲ [3] καὶ διὰ τὸ εἶναι τὸν διαληφθέντα ἱερώτατον καὶ λογιώτατον μητροπολίτην Φιλαδελφείας κὺρ Ἀθανάσιον, [4] ἄξιον ποιμένα καὶ σοφὸν, ἀκέστορα θεῖον τῷ ὄντι [5] καὶ πνευματικὸν, ἱκανὸν διοικεῖν ὡς εἰκὸς τοὺς ἐνδεῶς ἔχοντας θεραπείας [6] καὶ ἐπισκέψεως ἁρμοζούσης. Ἅπερ οὖν συνορῶντες ἡμεῖς, καὶ εἰς νοῦν λαβόντες, [7] καλῶς καὶ ἀγαθῶς ἔχοντα, δεῖν ᾠήθημεν ἐπιβεβαιῶσαι καὶ δι' ἡμετέρου κα-

[1] Ἔχει καὶ, Βελεριανόν. — [2] κατὰ χάριν. — [3] καὶ ἀναπαύσεως αὐτῆς, τοῦτο δ' ἐπὶ τούτοις. — [4] ἱερώτατον κύριον Ἀθανάσιον Φιλαδελφείας. — [5] Λείπει τῷ ὄντι. — [6] θεραπείας τε. — [7] καὶ οἱ νοῦν λαβόντες.



τασφαλίσαι [1] γράμματος συγγιλιώδους πατριαρχικοῦ χρυσοβούλου, καὶ τὸ κῦρος ἐπιβραβεῦσαι αὐτοῖς, καὶ τὴν ἰσχὺν καὶ κραταίωσιν, καὶ τὴν διαμονὴν χαρίσασθαι τούτοις καὶ [2] ἀϊδιότητα. Καὶ δὴ γράφοντες συνοδικῶς ἐν ἁγίῳ Πνεύματι παρακελευόμεθα, γνώμῃ καὶ τῶν ἱερωτάτων μητροπολιτῶν ϗ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, [3] ἵνα τοῦ προεκτεθέντος ἐκείνου συνοδικοῦ γράμματος πατριαρχικοῦ σιγγιλιώδους, ἔχοντος τὴν ἐπικύρωσιν, ϗ τὴν διαμένουσαν ἀσφάλειαν, καὶ τὴν διηνεκῆ ἀτρεψίαν καὶ ἀμεταβλησίαν, ϗ τὸ πάγιον ὅλως καὶ ἐρηρεισμένον καὶ ἀμετάπτωτον, ὁ ἱερώτατος ϗ λογιώτατος αὐτὸς μητροπολίτης Φιλαδελφείας κὺρ Ἀθανάσιος, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς εἴη καὶ λέγοιτο ἐπίτροπος καὶ ἔξαρχος πατριαρχικὸς, ϗ οἱ κατὰ καιροὺς [4] μετ' αὐτὸν ἀρχιερατεύσοντες, φορῶν ἐπὶ κεφαλῆς μίτραν, ἐνδυόμενος σάκκον ἐν τῷ ἐγγίζειν τῷ Θεῷ, ἱερουργῶν τὴν πνευματικὴν ϗ ἀναίμακτον λατρείαν, [5] καὶ παραπέμπειν αὐτὴν διὰ τοῦ Πνεύματος εἰς τὸ ὑπερουράνιον θυσιαστήριον, ἔχων ἄδειαν παρὰ τῆς ἐκκλησιαστικῆς ἐξουσίας καὶ μεγαλειότητος ἐπιστατεῖν καὶ ἐφορᾶν πάσας τὰς κατὰ τόπον περὶ αὐτὸν ἐκκλησίας, καθ' ἡμᾶς μὲν οὔσας, ὑπὸ δὲ τὴν γαληνοτάτην ἀρχὴν τῶν Ἐνετῶν τελούσας, [6] καὶ διακυβερνᾶν τοὺς ἐν αὐταῖς λόγῳ ἀληθείας, καὶ κρίνειν καὶ διακρίνειν καὶ ἀναθεωρεῖν πάσας τὰς ἐμπιπτούσας [7] ὑπο-

[1] κατασφαλίσασθαι. — [2] τὴν ἀϊδιότητα. — [3] γνώμῃ καὶ τῶν συμπαρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν συναδελφῶν καὶ συλλειτουργῶν τῆς ἡμῶν μετριότητος, ἵνα κτλ. — [4] ὡσαύτως καὶ οἱ κατά. — [5] την πνευματικὴν λατρείαν, την ἀναίμακτον θυσίαν. — [6] διατελούσας. — [7] ἐκκλησιαστικὸς ὑ. —

θέσεις νομίμως καὶ κανονικῶς, καὶ ἀποφαίνειν ὡς πρόσωπον ἡμέτερον [1] καὶ πατριαρχικὸς ἐπίτροπος καὶ ὢν καὶ λεγόμενος, καὶ οἷα χεὶρ δεξιὰ τῆς ἀνατολικῆς Ἐκκλησίας ἐνεργεῖν καὶ πράττειν τὰ τῇ εὐσεβείᾳ προσήκοντα, πρὸς κοινωφελῆ καὶ ψυχωφελῆ σωτηρίαν, καὶ τὰς χειροτονίας ἐπιτελεῖν διακόνων τε καὶ ἱερέων ἐν τῇ τῶν Κερκύρων νήσῳ, καθ' ἣν δοθεισομένην ἄδειαν παρὰ τῆς λαμπρᾶς καὶ μεγάλης καὶ κοσμοφήμου ἀρχῆς τῆς κλεινῆς Ἐνετίας. Πρὸς τούτοις [2] δέ ποτε ϗ ἐν Κυρίῳ ἐκδημησάντων τοῦ τε ἀρχιεπισκόπου Κεφαληνίας καὶ Ζακύνθου, καὶ τοῦ ἐπισκόπου Κυθήρων, καὶ τῶν ὧδε ἀπαράντων, αὐτὸς οὗτος ὁ ἱερώτατος καὶ λογιώτατος μητροπολίτης Φιλαδελφείας, ὡς ἔξαρχος καὶ ἐπίτροπος τοῦ οἰκουμενικοῦ θρόνου πρὸς πάσας τὰς ὑπὸ τὰς κλεινὰς Ἐνετίας ἐκκλησίας, ἔχοι ἄδειαν, κατὰ τόπον ἐκλογῆς γινομένης, χειροτονεῖν ἑτέρους κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, καὶ κανονικὴν ἀπόφα-

[1] ἔχων ἡμέτερον. — [2] Ἐντεῦθεν, ἕως τοῦ, μέσον εὑρισκομένης τοῦ πολλοῦ σάλου, πολλὴν ἔχει τὴν διαφορὰν τὸ χωρίον, ὅπερ καὶ ἀντιγράφομεν· »Πρὸς τούτοις δέ ποτε καὶ ἐν » Κυρίῳ ἐκδημήσαντος τοῦ ἀρχιεπισκόπου Κεφαληνίας καὶ Ζα» κύνθου, καὶ τῶν ὧδε ἀπάραντος, διά τε τὸ μῆκος τῆς ὁδοῦ, » καὶ τὸ δυσχερὲς τοῦ πράγματος, καὶ τῆς ἐπικυμαινούσης φορᾶς » τῆς ἐνεστώσης περιστάσεως, (*) αὐτὸς οὗτος ὁ ἱερώτατος μη» τροπολίτης Φιλαδελφείας κύριος Ἀθανάσιος, ἔχοι ἄδειαν, κατὰ » τόπον ἐκλογῆς γενομένης, χειροτονεῖν ἕτερον κατὰ τὴν ἐκκλη» σιαστικὴν ὑποτύπωσιν, καὶ κανονικὴν ἀπόφασιν, ἄνευ τῆς τοῦ » ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ψήφων γενομένων ὑπὸ τριῶν » ἐπισκόπων, τοὐλάχιστον ἐπὶ δύο, ἀνεπιλήπτως, καὶ λαμβάνειν » τὸ τῆς Ἐκκλησίας δικαίωμα ἀρκούντως, λόγῳ ὑποταγῆς, καὶ » ὑπειθείας τῆς περὶ αὐτήν, καὶ ἐνδείξεως φιλοφροσύνης, καὶ » πέμπειν αὐτὰ πρὸς ἀναψυχὴν καὶ παραμυθίαν τῆς Ἐκκλησίας, » μέσον εὑρισκομένης κτλ. «

(*) Αἰνίττεται τὸν ἐν Κρήτῃ πόλεμον Βενετῶν καὶ Τούρκων.



σιν, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ψήφων γινομένων ὑπὸ τριῶν ἐπισκόπων, τοὐλάχιστον ὑπὸ δύο, ἀνεπιλήπτως, καὶ λαμβάνειν τὸ τῆς ἐκκλησίας δικαίωμα μέσον εὑρισκομένης τοῦ πολλοῦ σάλου καὶ κλύδωνος τοῦ τυραννικοῦ ζυγοῦ, καὶ τὸ μὲν φιλότιμον τοῦ Κεφαληνίας, πέμπειν τῷ οἰκουμενικῷ θρόνῳ, τὸ δὲ τοῦ Κυθήρων, τῷ μητροπολίτῃ Μονεμβασίας, ἵνα τὰ δίκαια τῶν μητροπόλεων διασώζοιντο. Διὰ δὲ τὸ μῆκος τοῦ διαστήματος ἀπὸ τῶν Ἐνετιῶν εἰς Κύθηρα, ἐχέτω ἄδειαν ὁ ἱερώτατος οὗτος μητροπολίτης Φιλαδελφείας, πέμπειν ἔκδοσιν τῷ ἀρχιεπισκόπῳ Κεφαληνίας, ἐπὶ τὸ χειροτονεῖν κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, ἐπίσκοπον Κυθήρων, κἂν ταῖς ἱεραῖς τελεταῖς τὰς φήμας γίνεσθαι, εἰς ὄνομα αὐτοῦ παρ' ἀμφοτέρων, τοῦ τε Κεφαληνίας καὶ Κυθήρων, ὥσπερ καὶ παρὰ τῶν ἐν Κερκύροις πρωτοπαπάδων, ϗ τῶν λοιπῶν τῶν ὑπὸ τὴν ἐξουσίαν ὄντων τῶν κλεινῶν Ἐνετιῶν. Χάριν δὲ ὑποταγῆς τῆς πρὸς τὸν οἰκουμενικὸν θρόνον, ἀποφαινόμεθα, τὸν κατὰ καιροὺς ψηφιζόμενον Φιλαδελφείας παραγίνεσθαι σωματικῶς ἐπὶ τὴν βασιλεύουσαν, καὶ λαμβάνειν τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, παρὰ τοῦ κατὰ καιροὺς προϊσταμένου θρόνου, δεικνύοντα ἐμπράκτως τὴν πρὸς τὸν οἰκουμενικὸν θρόνον προσήκουσαν ὑποταγήν, κἀντεῦθεν ἀπέρχεσθαι πρὸς τὸν αὐτοῦ θρόνον, τιμώμενος παρὰ πάντων καὶ προτιμώμενος, ὡς εἰκόνα φέρων πατριαρχικὴν καὶ χαρακτῆρα ἡμέτερον, καὶ εὐλαβούμενος εἰλικρινῶς ἐν πάσῃ ἀληθείᾳ καὶ φόβῳ Θεοῦ· οὐδενὸς ἐναντιουμένου, ἢ ἀντιλέγοντος τὸ παράπαν ἱερωμένου ἢ λαϊκοῦ, ἐν ἐπιτιμίῳ φρικτῷ τῷ ἀπὸ Θεοῦ παντοκράτορος· ἐπὶ τούτοις γὰρ ἀπελύθη καὶ ὁ παρὼν πατριαρχικὸς συνοδικὸς ἐπικυρωτικὸς χρυσόβουλλος λόγος, καὶ πέμπεται πρὸς τὸν διαληφθέντα ἡμέτερον ἐπίτροπον καὶ ἔξαρχον πατριαρχικὸν ἱερώτατον σοφώτατον καὶ λογιώτατον μητροπολίτην Φιλαδελφείας

κύριον Ἀθανάσιον Βελλεριανὸν τὸν ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν, καταστρωθεὶς ἐν τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, ἐν ἔτει ἀπὸ Θεογονίας, χιλιοστῷ, ἑξακοσιοστῷ, πεντηκοστῷ πρώτῳ. Ἰνδικτ.ος δ'.

✠ Ἰωαννίκιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Ὁ Ἡρακλείας Μεθόδιος — † ὁ Κυζίκου Ἄνθιμος — † ὁ Νικομηδείας Κύριλλος — † ὁ Νικαίας Πορφύριος — † ὁ Ἀδριανουπόλεως Νεόφυτος — † ὁ Φιλιππουπόλεως Γαβριὴλ — † ὁ Χίου Παρθένιος — † ὁ Εὐρίπου Δανιὴλ — † ὁ Διδυμοτείχου Ἰάκωβος — † ὁ Κασανδρείας Θεοφάνης — † ὁ Τζίας καὶ Θερμιῶν (οὕτω) Γερμανὸς — † ὁ Νεοκαισαρείας Σαμουήλ. [1]

Ἐπὶ τὸ ἔξω τοῦ Γράμματος ἀναγινώσκεται· Privilegio Patriarcale delli Vescovi del Stato della Ser.ma Republica.—Licenziata in Collegio.

1633. p.° Sett.e

Visto e licenziato per la esecuzione.
*Busenello Segr.°*

1 Ἐκ τούτων λείπουσιν· † Ὁ Κνισσρείας Παΐσιος — † Ὁ Προύσης Κλήμης — † Ὁ Καφᾶ Κύριλλος.

# Θ'.

(Εἰς χάρτην)

## ΔΙΟΝΥΣΙΟΣ

### ΕΛΕῼ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. [1]

Ἱερώτατε μητροπολῖτα Φιλαδελφίας, [2] ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λυδίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ, καὶ συλλειτουργὲ, κὺρ Μελέτιε, χάρις εἴη σου τῇ ἱερότητι, καὶ εἰρήνη ἀπὸ Θεοῦ. Καλῶς γινώσκει ἡ ἀρχιερωσύνη σου, ὅτι, τὰ κατὰ καιροὺς, ἐπισυμβαίνοντά τινα δυσχερῆ, καὶ δυσάντητα πάθη, περὶ τὰ καθέκαστα ὑποκείμενα, καθυποβάλλειν οἶδεν ἀνάγκαις αὐτὰ, τὰς σφῶν ὑπέχειν φυσικὰς κινήσεις, καὶ ἐνεργείας καὶ διόλυ σχεδὸν ἀπρακτεῖν· ὅπερ οὐ μόνον τὰ κατὰ φύσιν, ἢ κατὰ τέχνην τινὰ κινούμενα, πάσχειν πάντως δοκεῖ, ἀλλάγε δὴ, καὶ τὰ κατ' αὐτὴν τὴν προαίρεσιν, οὐχ ἧττον ἀνάγκαις φιλεῖ καθυποκύπτειν καιροῦ, πρὸς τῶν δυσχερεστάτων κωλυόμενα περιστάσεων, κατ' ἰδίαν ἔφεσιν ἐνεργεῖν. Διὸ καὶ τῷ φέροντι φέροντες συμπεριφέρεσθαι μᾶλλον, ὀφείλουσιν ἄνθρωποι,

1 Ἐκ τοῦ Θησαυροφυλ. τῆς Ἀδελφ. Ἀριθμ. 22. — Ἐστάλη ἡ Ἐπιστολὴ αὕτη, μετὰ μακρὰν ἀλληλογραφίας διακοπὴν, (πολλῶν ἕνεκα τὴν Ἐκκλησίαν λυμαινομένων κακῶν, καὶ πολιτικῶν συμβεβηκότων) πρὸς τὸν Φιλαδελφείας Μελέτιον Χορτάκην, Ῥεθύμνιον· περὶ οὗ ἐν τῷ ἡμετέρῳ Ἱστορ. Ὑπομνήμ., σελ. 74. —

2 Γ. Φιλαδελφείας. Οὕτω καὶ ἑξῆς πολλαχοῦ τῆς βίβλου.

καὶ μηδόλως διώκειν, τὴν τῆς φορᾶς ἀντίδρομον ἀγωγὴν, ἀβύσσους ὅλας σχεδὸν τῶν δεινῶν ἐπαπειλούσας ἐνίοτε. Τὸν αὐτὸν τοίνυν τρόπον καὶ κατὰ τοὺς προλαβόντας χρόνους, μάχη μὲν μακρὰ τῶν κρατούντων ἐκράτει, περὶ τὰς ἔξω ἀρχάς· [1] δέος δὲ τὸ ὑπεῖκον, καὶ κατ' ἀνάγκην συνεῖχεν ὑποστολὴ, πανταχόθεν τὸ ὕποπτον ἐννοοῦν, κἂν τοῖς ἀνυπόπτοις καὶ καθαρεύουσι δόλου, τὸν κίνδυνον ὑφορώμενον· ἀνθ' ὧν σχολάσαι τέως συνέβη, καὶ τὰ μεταξὺ τῆς ἀρχιερωσύνης σου, καὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας ἔθιμα, τὸ, σὲ μὲν ἐπιστέλλειν φημὶ, τῷ κατὰ καιροὺς Πατριάρχῃ, καὶ τὰ εἰκότα προσαγορεύειν· ναὶ μὴν καὶ τῇ κοινῇ Μητρὶ τῶν κατὰ μέρος ἐκκλησιῶν, ἀφοσιοῦσθαι τὸ νενομισμένον φιλότιμον, ὅπερ πάλαι διορισθὲν ἐπεκράτησεν, ἀπὸ πρώτης καταρξεως, τῆς ὑπὸ σὲ καθέδρας αὐτῆς, τὸν δὲ οἰκουμενικὸν θρόνον, ἀμείβεσθαί σοι ταῖς Πατριαρχικαῖς περιθάλψεσι, καὶ ταῖς κατ' αὐτὸν ἀποστολικαῖς εὐλογίαις. Ἀλλ' ἐπειδὴ νῦν σὺν Θεῷ, τὸν βραχὺν ἐκεῖνον, βαρὺν χειμῶνα τῆς μάχης, τὸ τῆς εἰρήνης κοσμοπόθητον ἔαρ διαδεξάμενον, τὰς πολλάς πως ἀνωμαλίας ἠλάττωσεν, ἄγε δὴ τὴν τῶν ἀρχαίων καλῶν ἀνακαλῶμεν κατάστασιν. Ἡμεῖς μὲν οὖν γινώσκοντες τὴν σὴν ἱερότητα, φίλον ἔκαθεν, καὶ φιλίας ἐπιστάμενον ὅρους, προκαταλαβεῖν οὐκ ἠμελήσαμεν, ἀλλὰ τῇ ἀγάπῃ μᾶλλον, ἢ τῇ τάξει χαριζόμενοι, γράφομεν αὐτῇ, μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν, καὶ συλλειτουργῶν, καὶ δηλοποιοῦμεν, ὅτι, νεύσει θεία, προσκλήσει τε κοινῇ, καὶ ἐπαναγκάσει τῆς ἱερᾶς, καὶ ὑπερτεροῦς συνόδου, ἐπὶ

[1] Τὰ περὶ Κρήτην ἐννοεῖ, καὶ τὰς τῶν δυναστῶν ὑποψίας.



τὸν οἰκουμενικὸν προεβιβάσθημεν θρόνον, διὰ τῆς χειραγωγίας τοῦ παναγίου Πνεύματος, μετὰ τὸ ἐξωσθῆναι ἀποστροφῇ κοινῇ, καὶ ἀποδιώξει τὸν φθορέα τῆς Ἐκκλησίας κακοΠαρθένιον, ὡς μηδεμίαν παρανομίαν ἀκατέργαστον παρεάσαντα, [1] καὶ τοὺς κατ' αὐτὸν πνευματικοὺς ἐνεχειρίσθημεν οἴακας, καὶ Θεὸν ἔφορον προβαλλόμεθα, δεόμενοι τοῦ παναγίου αὐτοῦ ὀνόματος, ἐπὶ τὸ ὁδηγῆσαι ἡμᾶς, πρὸς ἅπαντα τὰ σωτήρια· ἅπερ δεῖ σε καταμαθεῖν ἀναγκαίως, τοῦτο μὲν, ὅπως προσφόρως τὸ σύνηθες μνημόσυνον καὶ μὴ ἐπισφαλῶς ἐκφωνεῖς· [2] ἐνωτίσθημεν γὰρ, ὅτι μνημονεύων διατελεῖς ἑτέρων ὀνομάτων, καὶ οὐ τῶν κατὰ τὴν ἡμέραν πατριαρχῶν, ὅπερ οὐ μικρὰν παρεμφαίνει τὴν ἀτοπίαν, [3] καὶ οὐκέτι βουλόμεθα γίνεσθαι· τοῦτο δὲ, καὶ γράφων μὴ διαλίπῃς ἡμῖν, καὶ τῆς κοινῆς Μητρὸς διὰ φροντίδος ἔχῃς, ὡς τὸ δίκαιον ἀπαιτεῖ, καθάπερ καὶ πάντες οἱ ὑπ' αὐτὴν ἀρχιερεῖς, ἀλληλουχούμενοι συμψύχως ἀντιπελαργεῖν αὐτὴν οὐκ ἀπαναίνονται· μὴ ἐπιλάθου τοιγαροῦν, ἐθελοντὶ τῆς σῆς εὐεργέτιδος, ἧς οὐ μικρὸν φροντιστέον πᾶσιν ὀφείλεται, πάντων καὶ γὰρ μήτηρ ἐστὶ, καὶ τροφὸς, καὶ πρὸς αὐτὴν τὸ κοινὸν ἐπιβλέπει, ὡς κέντρῳ κύκλος περιφερόμενος, κατὰ τὴν Θεολόγον φωνήν· ἥνπερ οἷς κρίμασιν οἶδε Κύριος διάφορα νῦν, καὶ ποικίλα πολιορκεῖ τὰ παθήματα, καὶ μέχρι τῶν

[1] Ἐπιβεβαιοῦται διὰ τῶν ῥήσεων τούτων ἡ παράνομος πατριαρχεία τοῦ προκατόχου Παρθενίου Δ΄., τοὐπίκλην Μογγιλάλου, δι' ἐπιβουλῶν, καὶ ἀναφορῶν κατ' Ἀρχιερέων, καὶ Ἀρχόντων ποιμάναντος την Ἐκκλησίαν, καὶ ἄλλα κακὰ καὶ ἄθεσμα ποιήσαντος. (Βλ. Δοσιθέου Δωδεκάβ. σελ. 1177. § Δ΄.) — [2] Γρ. ἐκφωνῇς. — [3] Συμβαίη δ' ἂν τοιοῦτόν τι σήμερον, ὅτε τοὺς ἐν ἀλλοδαπῇ Ὀρθοδόξους ἐῶσιν οἱ Πατριάρχαι τὰ ἑαυτῶν ὀνόματα ἐκ τῶν ἐφημερίδων καταμανθάνειν.

ἐσχάτων κινδύνων συνωθοῦσιν αὐτὴν, ἀνθ' ὅτου καὶ κοινῆς χρῄζει τῆς ἀντιλήψεως. Διὸ ἀπολαβοῦσα παρὰ τῆς σῆς ἱερότητος τὸ πάλαι νενομισμένον αὐτῆς φιλότιμον, ἐπιδαψιλεύσει σοι καὶ αὐτὴ, προσαντιχαριζομένη [1] τὰ ἀνήκοντά σοι προνόμια, καὶ ἔσῃ μᾶλλον φιλοτιμούμενος. Σύμπνει δὴ συμψυχίαν, καὶ συμφυΐαν τῇ ἀρχιερατικῇ ἀδελφότητι, καὶ συμφρόντιζε τὰ εἰκότα τῆς ἐκκλησιαστικῆς προμηθείας, καὶ βοηθείας ὡς μέλος αὐτῆς συμφυές. Ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ τῆς ἀρχιερωσύνης σου. Ἔτει σωτηρίῳ ͵αχοαʹ.

Ἐν μηνὶ Δεκεμβρίῳ, Ἰνδικτιῶνος ιʹ.

† Ὁ Ἡρακλείας Βαρθολομαῖος — † Ὁ Ἀδριανουπόλεως Νεόφυτος — † Ὁ Ἀθηνῶν Ἄνθιμος — † Ὁ Κυζίκου Μητροφάνης — † Ὁ Καισαρείας Νεόφυτος — † Ὁ Χαλκηδόνος Ἱερεμίας — † Ὁ Φιλιππουπόλεως Γαβριὴλ — † Ὁ Ρόδου Ἰωακεὶμ — † Ὁ Νικαίας Δαμασκηνός — † Ὁ Ἀμασείας καὶ Καφᾶ Γεράσιμος — † Ὁ Νεοκαισαρείας καὶ Γαγγρῶν Κύριλλος — † Ὁ Θεσσαλονίκης Μελέτιος — † Ὁ Μιτυλήνης Γρηγόριος — † Ὁ Τορνόβου Γεράσιμος — † Ὁ Λαρίσσης Ἰάκωβος — † Ὁ Δρύστρας Μελέτιος — † Ὁ Κορίνθου Κάλλιστος — † Ὁ Ρεθύμνης Μακάριος — † Ὁ Σερρῶν Κύριλλος — † Ὁ Ἀγχιάλου Δανιὴλ — † Ὁ Προύσης Ἄνθιμος — † Ὁ Δέρκων Χρύσανθος — † Ὁ Σηλυβρίας Ἰάκωβος — † Ὁ Βάρνης Μητροφάνης — † Ὁ Φιλίππων καὶ Δράμας Γερμανός — † Ὁ Προϊλάβου Λαυρέντιος — † Ὁ Λιτίτζης Θεοδόσιος — † Ὁ Ξάνθης Δαμασκηνός.

[1] Τὸ χειρόγραφον ἔχει· πρὸς ἀντιχαριζομένη.

# Γʹ.

(Εἰς μεμβράναν)

## ΙΑΚΩΒΟΣ

**ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.** [1]

Θεωρίαις ἀνατατικαῖς ἡ ἐκφαντορικὴ τοῦ θεηγόρου Πατρὸς Ἀρεοπαγίτου διάνοια πρὸς τὰ ἱεροκρύφια τοῦ νοεροῦ διακόσμου ὑψηγόρως ἐκπτερωθεῖσα, ἑκάστην τῆς τρισσουμένης διαιρέσεως τῶν νοερῶν οὐσιῶν εἰς τρεῖς καταστάσεις διένειμεν, οὕτω τῆς τοῦ παναγίου Πνεύματος ἀκτινοβόλου ἐλλάμψεως ταύτας τοῦτον μυήσασα, καὶ τῷ ὑπερφώτῳ ταύτης φωτὶ τὴν τῶν δευτέρων φώτων στάσιν ἢ τάξιν ὑπερφώτως τούτῳ φωτίσασα· ἀμέλει τοι ταύτης ἡ τῶν Χριστιανῶν Ἐκκλησία ἀπείκασμα τυγχάνει καὶ ἐξεικόνισμα· ἀλλ' ὅπερ ἐν ἐκείναις τὸ πρῶτον φῶς, καὶ ἡ ὑπερτάτη καὶ πάντων ὑπερκειμένη οὐσία, τοῦτο ἐν τῇ τυπικῇ ἐκείνων καταστάσει τὸ τῆς ἱερωσύνης ἀξίωμα· καὶ ὥσπερ ἀπὸ τοῦ πρώτου ἐκείνου φωτὸς, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ πηγάζει ἁγιωσύνη καὶ χάρις διηνεκὴς, οὕτω παρὰ τῆς ἱερωσύνης ἐκχεῖται πᾶσι τοῖς εἴτε ἀξιώμασιν, εἴτε

[1] Ἐκ τοῦ Θησαυροφυλ. τῆς Ἀδελφ., Ἀριθ. 18. — Ἔστι δὲ τὸ Χρυσόβουλλον, (σειραδίῳ τε καὶ μολυβδίνῳ σιγιλλίῳ ἐσφραγισμένον) ἐπὶ προχειρίσει τοῦ σοφωτάτου Γερασίμου τοῦ Βλάχου (περὶ οὗ ἐν τῷ ἡμετέρῳ Ὑπομνήμ. σελ. 76) εἰς Μητροπολίτην Φιλαδελφείας.

στάσεσιν, ἢ ὅπως ἄλλως θεοβραβεύτως ἐξονομήνειας, πᾶσα τελειότης ἐνέργειά τε καὶ δύναμις, δι' ὧν ὡραιότης, καλλωπισμὸς καὶ ἁγιότης τῷ χριστωνύμῳ πληρώματι συλλήβδην καθίσταται· καὶ ὅπερ ψυχὴ σώματι, καὶ νοῦς ἐν ψυχῇ, τοῦτο ἱερωσύνη τῷ ἐκκλησιαστικῷ πληρώματι ἀρρήτως τελεῖ· χρῆμα τῷόντι πάντων χρημάτων ἐξαισιώτερον, ϗ δεῖγμα πάντων δειγμάτων ἐκφαντικώτερον. Διὰ ταύτης γὰρ μυστηρίων ἐκπλήρωσις, ἁμαρτημάτων ἄφεσις, λύσις ἀγνοημάτων, καὶ δεσμὸς παραπτωμάτων ἀκαταγώνιστος. Ὅθεν δεῖν ἔγνωμεν, ἅτε νεύματι θειοτέρῳ καὶ κοινοτάτῃ προσκλήσει ἐπὶ τὴν ὑψηλοτάτην περιωπὴν τῆς Οἰκουμενικῆς Ἐκκλησίας ἐνιδρυθέντες, ϗ τοῦ πνευματικοῦ καὶ παγκοίνου σκάφους τοῦ οἰκουμενικοῦ θρόνου τοὺς οἴακας ἐγχειρισθέντες, ἀγρύπνοις ὄμμασι διευθετεῖν τὰ τῆς ἱεροκρυφίου καὶ μυσταπορήτου ἱερωσύνης, ὥστε μηδεμίαν τῶν ὑποκειμένων τῷ ἀποστολικῷ τούτῳ ἁγιωτάτῳ καὶ ὑψηλοτάτῳ πατριαρχικῷ Θρόνῳ παροικιῶν ἐν στερήσει τῆς πνευματικῆς ταύτης εὑρίσκεσθαι χάριτος, ἀλλ' ὑπερπλουτεῖν τῶν παρ' αὐτῆς εὐαγῶν δωρεῶν, καὶ τὴν χάριν ταύτην βραβεύεσθαι τοῖς ἐν αὐταῖς ἅπασιν εὐσεβοφρονοῦσι Χριστιανοῖς. Καὶ δὴ κατήκοοι γεγονότες περὶ τῆς παροικίας καὶ μητροπόλεως Φιλαδελφείας, ὅτι ἐν στερήσει τῆς τοιαύτης πνευματικῆς καθέστηκε χάριτος, ὡς τοῦ τὴν πνευματικὴν ἐξουσίαν ταύτης προεδρικῶς ἐσχηκότος πρώην Κωνσταντινουπόλεως Πατριάρχου κὺρ Μεθοδίου, [1] τῶν τῇδε ἀπάραντος, καὶ πρὸς τὰς αἰωνίους σκηνὰς ἐκδημήσαντος, ἵνα μὴ ἐπιπολὺ τὸ ἐκεῖσε χριστια-

[1] Δηλαδή, τοῦ Μορώνη· ὅς τις, ἐν Κωνσταντινουπόλει πατριαρχεύσας (1669-1671). προεδρικῶς ἐποίμανε τὴν ἐν Βενετίᾳ Ὀρθόδοξον Ἐκκλησίαν ἔτη δύο, καὶ ἐτελεύτησε. (Πρβλ. Ἱστορ. Ὑπόμν. σελ. 75).

SISMANOGLIO



νικὸν πλήρωμα ἐν στερήσει τῆς τοιαύτης πνευματεμπνεύστου χάριτος εὑρίσκοιτο, προτροπῇ καὶ ἀδείᾳ τῆς πατριαρχικῆς μεγαλειότητος, ψήφων κανονικῶν προβεβλημένων τε καὶ γεγενημένων παρὰ τῶν ἐνδημούντων ἐνταῦθα τῇ βασιλευούσῃ τῶν πόλεων ἱερωτάτων μητροπολιτῶν, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, τοῦ Χαλκηδόνος κὺρ Γερεμίου, τοῦ Θεσσαλονίκης κὺρ Μελετίου, τοῦ Ἀθηνῶν κὺρ Ἰακώβου, τοῦ Τορνόβου κὺρ Δανιήλ, τοῦ Ναυπάκτου καὶ Ἄρτης κὺρ Βαρθολομαίου, τοῦ Μυτιλήνης κὺρ Γρηγορίου, τοῦ Ῥόδου κὺρ... [1] τοῦ Διδυμοτείχου κὺρ Γρηγορίου, τοῦ Μεθύμνης κὺρ Μακαρίου, τοῦ Δέρκων ϗ Νεοχωρίου κὺρ Μακαρίου, τοῦ Νεοκαισαρείας κὺρ... [2] τοῦ Λιτίτζης κὺρ Θεοδοσίου, τῶν ἄλλων προτετίμηται, καὶ τῶν προβληθέντων προκέκριται, ὁ καὶ παρὰ τῶν παροικούντων ἐν τῇ ἀποικίᾳ ταύτῃ Φιλαδελφίας [3] πρότερον ἐκλεγεὶς ὁσιώτατος καὶ λογιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ Γεράσιμος Βλάχος τοὐπίκλην, ἐφ' ᾧ τὴν ποιμαντικὴν τῆς παροικίας ταύτης, πνευματικὴν ῥάβδον ἐγχειρισθείη, ὃν ὡς ἔγνωμεν καὶ παρὰ πολλῶν ἀκηκόαμεν ἐκ νέας τὸ ἀγγελικὸν σχῆμα ἠμφιεσμένος, καὶ τὸν ἀγγέλοις ὁμοδίαιτον βίον, τὸν μονήρη φημί, λίαν ἐξησκημένος, [4] ϗ τὸν τοῦ Κυρίου λόγον τοῖς Χριστιανοῖς ἐξαγγέλλων καὶ διδάσκων, καὶ εἰσηγούμενος καλῶς τε καὶ θεαρέστως, ἐν αἷς διατρίβων ἐτύγχανεν ἐκ νέας, ἱεραῖς

[1] Λείπει τὸ ὄνομα. — [2] Ὡσαύτως οὐ γέγραπται τὸ ὄνομα.— [3] Γρ. Φιλαδελφείας. — [4] Περὶ Γερασίμου τοῦ Βλάχου εἴπομεν ἐν Ὑπομνήμ. σελ. 76, ὅπου τὸ ἔτος τῆς ἀφίξεως αὐτοῦ εἰς Βενετίαν διορθωτέον 1656, ἀντὶ τοῦ 1651. (Βλ. Δημητρακοπούλου Προσθήκας καὶ Διορθώσ. εἰς τὴν τοῦ Σάθα Φιλολογίαν, σελ. 55.).

μοναῖς διατρίψας, ἔκ τε φύσεως καὶ μαθήσεως ἔχων τὸ τῆς ποιμαντικῆς ἰδίωμα, κατ' οὐδὲν τῶν συνασκουμένων αὐτῷ ἀπολιπόμενος, προβιβασθείη τε εἰς τὴν ἀρχιερατικὴν ταύτην ἀξίαν τὴν ὄντως θείαν καὶ εὐαγῆ καὶ θεοβράβευτον. Οὗτος τοιγαροῦν ὁ διαλειφθείς,[1] κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, καὶ τὴν τῶν ἱερῶν καὶ θείων κανόνων παρακέλευσιν, τῇ τελεταρχικῇ ἐξουσίᾳ καὶ χάριτι καὶ δυνάμει τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, ἀρχιερεὺς κεχειροτόνηται καὶ μητροπολίτης ἀναδέδεικται τῆς διαληφθείσης ταύτης παροικίας Φιλαδελφίας, καὶ ποιμὴν καὶ διδάσκαλος τῶν ἐνδιατριβόντων καὶ παροικούντων ταύτῃ Χριστιανῶν καθέστηκεν. Ὅθεν ὀφείλει ὁ διαληφθεὶς αὐτὸς οὗτος ἱερώτατος μητροπολίτης Φιλαδελφίας, καὶ ὑπέρτιμος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Γεράσιμος, χερσὶν ἐκτεταμέναις ἐπιλαβέσθαι τῆς θεόθεν αὐτῷ βραβευθείσης τε καὶ ἐμπιστευθείσης λογικῆς τοῦ Χριστοῦ ποίμνης, καὶ ταύτης χριστιανικοῦ πληρώματος, ὅπου ἂν εἴη, σκοπὸν ἕνα καὶ μόνον τιθέμενος τὴν τῶν Χριστιανῶν ψυχικὴν ὠφέλειαν, διδάσκων νουθετῶν τε καὶ πείθων αὐτοὺς τὰ ἱερὰ καὶ θεῖα διδάγματα καὶ ἐντάλματα, οὐ μόνον ταῖς ἀπὸ στόματος καὶ γλώττης νουθεσίαις τε καὶ εἰσηγήσεσιν, ἀλλὰ πολλῷ μᾶλλον ταῖς ἀπὸ τοῦ ἰδίου βίου χειραγωγίαις, καὶ ταῖς ἀπὸ τῶν ἐναρέτων αὐτοῦ πράξεων ψυχαγωγίαις, τὰ πάντα τοῖς πᾶσι γινόμενος κατὰ τὸν θεῖον Ἀπόστολον, ἵνα τοὺς πάντας κερδίσῃ ἢ πλείονας, καὶ προσάξῃ Χριστῷ ὡς ὑπέσχετο, χαίρειν τε ἐν Κυρίῳ μετὰ τῶν χαιρόντων, καὶ κλαίειν μετὰ τῶν κλαιόντων, καὶ ὡς συνήγορος τῆς εὐσεβοῦς ϗ ὀρθοδόξου πίστεως μηδὲν ἄλλο

[1] Γρ. διαληφθείς.



προτιμᾶν τῆς σωτηρίας τῶν ψυχῶν, τῶν[1] ὧν ἀρχιερεύς τε καὶ ποιμὴν διώρισταί τε καὶ κέκληται· ἅπαντά τε τὰ τῆς ἀρχιερατικῆς ἐνεργείας καὶ πράξεως ἐκτελῶν, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡς ὢν καὶ λεγόμενος καὶ ὀνομαζόμενος μητροπολίτης Φιλαδελφίας γνήσιος ϗ νόμιμος καὶ κανονικός, καὶ εὐλογεῖν καὶ ἁγιάζειν τοὺς ἐν τῇ παροικίᾳ καὶ ἀποικίᾳ ταύτῃ Χριστιανούς, ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους καὶ διακόνους χειροτονεῖν, καὶ εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα προβιβάζειν, μοναχούς τε, καὶ μοναζούσας κείρειν, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν δι' οἰκείων ἐνταλμάτων, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν, εἰ συμβαίη, ἐπὶ σταυροπηγίῳ τῷ ἑαυτοῦ, καὶ πάντα τὰ τοῖς ἀρχιερεῦσι καὶ πνευματικοῖς ποιμέσι καὶ διδασκάλοις προσήκοντα ἐκτελεῖν, δεσπόζειν τε καὶ ἐξουσιάζειν τῶν τῆς παροικίας ταύτης καὶ ἀποικίας τεμενῶν τε καὶ προσκυνημάτων, κτημάτων τε καὶ ἀφιερωμάτων, καὶ διοικεῖν ταῦτα, καὶ τῆς τούτων βελτιώσεως ἐπισπεύδειν ἀόκνως. Ὀφειλόντων ϗ πάντων τῶν ὑπὸ τῆς αὐτοῦ ἱερότητος ποιμενομένων τε καὶ διοικουμένων εὐσεβῶν Χριστιανῶν, ὁποίου ἂν ὦσι τάγματός τε καὶ ἀξίας, τῆς τε ἱερατικῆς δηλονότι χορείας, καὶ τῆς μοναδικῆς πολιτείας, καὶ τοῦ καταλόγου τῶν κοσμικῶν ἀρχόντων τε καὶ ἀρχομένων, ὑπείκειν τε καὶ ὑποτάσσεσθαι τοῖς παρ' αὐτοῦ διοριζομένοις, ἐπὶ σωματικῇ τε καὶ ψυχικῇ ὠφελείᾳ, καὶ κατ' οὐδένα τρόπον τολμᾶν ἀντιτείνειν τῇ αὐτοῦ ἱερότητι, ἢ ἀντιλέγειν, ἢ ἐναντιοῦσθαι, ἢ στρεφοδικεῖν ἐπὶ ἀτιμίᾳ ἢ ζημίᾳ ἢ βλάβῃ αὐτοῦ, ἀλλ' ὅλῃ ψυχῇ ὑπείκειν καὶ ἐκ βαθέων ὑποτάσσεσθαι ὡς γνησίῳ αὐτῶν πνευματικῷ ποιμένι καὶ διδασκάλῳ, παρέχειν τε καὶ δι-

[1] Περισσεύει ἴσως ἐνταῦθα τὸ ἄρθρον.

SISMANOGLIO

δόναι πάντα τὰ ἐξ ἔθους τῇ αὐτοῦ ἱερότητι μετὰ τῆς προσηκούσης τιμῆς καὶ δεξιώσεως, καὶ κατ' οὐδὲν ἐλαττῶσαι τολμῶντας τὰ ἀπὸ συνηθείας ἀρχαίας διορισθέντα, πρός τε τιμὴν καὶ κυβέρνησιν καὶ περίθαλψιν τῆς αὐτοῦ ἱερότητος, καὶ μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς εἴθισται, καὶ κατὰ πάντα τρόπον φροντίζειν τῶν τῆς συστάσεως καὶ τῶν πρὸς αὔξησιν τῆς τιμῆς τῆς αὐτοῦ ἱερότητος· ἡ γὰρ πρὸς αὐτὸν γιγνομένη τιμὴ πρὸς τὴν ἡμῶν μετριότητα διαβαίνει, καὶ δι' ἡμῶν πρὸς τὸν χρηματίσαντα καθ' ἡμᾶς ὑπὲρ ἡμῶν Ἀρχιποίμενα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ὁ δὲ παρὰ τὰ γεγραμμένα διανοηθεὶς πρᾶξαι, καὶ τὶ τῶν μὴ ἀνηκόντων ποιμαινομένοις πνευματικῶς ἐνεργῆσαι, τῇ ἰδίᾳ διαστρόφῳ γνώμῃ πειθόμενος, ὁ τοιοῦτος ὡς ἀπειθὴς καὶ ἀνυπότακτος, καὶ λειποτάκτης, καὶ ἀλαζών, καὶ ἐναντίος τοῦ πνευματικοῦ αὐτοῦ ποιμένος οὐ μόνον εἰσέπειτα ἐπιτιμίοις βαρυτάτοις ὑπὲρ ἡμῶν καθυποβληθήσεται, ἀλλὰ καὶ τῆς κατ' αὐτοῦ ἀγανακτήσεως τοῦ Θεοῦ πειραθήσεται. Καὶ γὰρ ἐπὶ τούτοις ἅπασιν ἡ παροῦσα πρᾶξις ἐν λόγῳ χρυσοβουλίου ἀπολυθεῖσα δέδοται τῷ διαληφθέντι αὐτῷ ἱερωτάτῳ Μητροπολίτῃ Φιλαδελφείας, καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ, κὺρ Γερασίμῳ Βλάχῳ. Ἐν ἔτει τῷ σωτηρίῳ α.χ.π.ᵠ κατὰ μῆνα Ἀπρίλλιον· ἐπινεμήσεως τρίτης.

✠ Ἰάκωβος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.

# ΙΑ'.

(Εἰς χάρτην)

## ΔΙΟΝΥΣΙΟΣ

**ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.** [1]

Ἱερώτατε μητροπολῖτα Φιλαδελφείας, καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι, ἀγαπητὲ ἀδελφέ, καὶ συλλειτουργέ, κὺρ Μελέτιε, χάρις εἴη σου τῇ ἱερότητι, καὶ εἰρήνη ἀπὸ Θεοῦ. Γράμμα τῆς ἀρχιεροσύνης σου, [2] ἐνεχειρίσθη ἡμῖν,

[1] Ἐκ τοῦ Θησαυροφ. τῆς Ἀδελφ., Ἀριθμ. 23. — Ὁ μὴ εἰσέτι ἀπεστερημένος τότε τῆς ἀληθείας, κατὰ τὸν Ἀπόςολον, καὶ μὴ νομίζων πορισμὸν εἶναι τὴν εὐσέβειαν ὑποψήφιος Μελέτιος ὁ Τυπάλδος (περὶ οὗ τὰ καθέκαστα ἐξιςορήσαμεν ἐν τῷ ἡμετέρῳ Ὑπομνήματι, σελ. 76-87) τὴν ἐν ἔτει 1686 τελεσθεῖσαν αὐτοῦ χειροτονίαν ἀναγγέλλει τῇ Μεγάλῃ τοῦ Χριςοῦ Ἐκκλησίᾳ, πρὶν ἔτι παρ' αὐτῆς ἀποσταλῶσιν αἱ συνήθεις ἐκδόσεις, σηρικὸν ὕφασμα δῶρον προσφέρων ὁ ὕπουλος, ἵνα καὶ ταύτας, ὡς δοκεῖ, ταχύτερον λάβῃ. Καὶ φαίνεται μὲν παραστήσας ἐγκαίρως τῷ Πατριάρχῃ τὴν, ἐπὶ τῇ ἐκλογῇ καὶ χειροτονίᾳ, δι' ὄχλου γινομένην Ῥώμην, καὶ ἑαυτὸν ἐνεδρεύουσαν καὶ παταγοῦσαν, αὐτὴν δὲ καὶ ἴσως τὴν ὀρθοδοξίαν τῆς Κοινότητος κινδυνεύουσαν· τούτοις δήπου, τὸν φόβον καὶ τὰς ὑποψίας τῆς φιλοστόργου Μητρὸς προελάμβανεν ὁ ἀλιτήριος! Ὁ δὲ κλεινὸς Πατριάρχης, οἱονεὶ τὰ μέλλοντα προαισθόμενος, καὶ ὅσα τῆς κακίας τὰ ψυχοφθόρα σκάνδαλα προειδώς, ἀντεπιστέλλει τῷ Μελετίῳ τὰ πατρικὰ τῆς εὐσεβείας λόγια, πρὸς τὸ ἐνισχύσαι καὶ βεβαιῶσαι αὐτὸν ἐν τῇ πατροπαραδότῳ διδασκαλίᾳ τῆς καθ' ἡμᾶς Ὀρθοδόξου Ἐκκλησίας. — [2] Οὕτω γέγραπται.

διαλαμβάνον σὺν ἄλλοις, ὅσα τὴν ἐπιστολὴν ἀπαρτίζειν εἴωθε, καὶ τὰ περὶ τῆς χειροτονίας αὐτῆς, καὶ προστασίας τῆς αὐτῆς ἐκκλησίας, ὡς εὐθέτως προσυντελεσθέντα, κατὰ τὸ ἐπικρατοῦν ἄνωθεν ἔθος, ἅ τινα, καὶ διαγνόντες κοινῶς, μετὰ τῶν συνεδριαζόντων ἡμῖν, ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι, ἀγαπητῶν ἡμῶν ἀδελφῶν, καὶ συλλειτουργῶν, ὅσοι περ ἔτυχον ἐνδημοῦντες, ἐπὶ κοινῇ διασκέψει τῶν ἐκκλησιαστικῶν ὑποθέσεων, ἠσμενίσαμεν τῆς κανονικῆς διατηρήσεως, ἀνθ' ὧν, εὐχόμεθά σοι γενέσθαι τὴν προχείρησιν, [1] ἀξίαν τοῦ λειτουργήματος, εὐάρεστόν τε Θεῷ, καὶ εὐαπόδεκτον. Φρόντισον οὖν ἤδη, τὸν εὐαγγελικὸν ζυγόν, ἐπ' αὐχένας εἰσδεδεγμένος, εὐαγγελικῶς τὸ ἐγχειρισθέν σοι λειτούργημα διενεργεῖν, ὑπὸ τοῦ παντουργοῦ χειραγωγούμενος Πνεύματος, τῶν θείων τ' ἐχόμενος ἐντολῶν, καὶ ταῖς ἱεραῖς μελέταις προσκείμενος, ἀπροσκόπως εἴη σοι, τὴν τοῦ θείου θελήματος διανύειν ὁδόν, ἐν τῷ φυλάττειν ἀπαρεγχείρητα πάντα, δι' ὧν, τὰ τῆς καθαρᾶς ἡμῶν, καὶ ἀμωμήτου πίστεως, ἀνατέλλει γνωρίσματα, καὶ ἀνόθευτον ἐξαστράπτει τὸ κάλλος αὐτῆς. Ἴσθι τε τοὐθ' ὡς ἐπισφράγισμα πάντων, τηρεῖν σε, κατ' ὀφειλὴν ἀπαραίτητον, τὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας, ὅσα φημὶ περὶ δόγματα νενόμισται, ἤθη τε καὶ τάξεις, ἀκρωτηρίαστα, κατὰ τὴν ἐκ τοῦ πάλαι ἀρχαίου, θείαν, ἀποστολικήν τε, καὶ πατροπαράδοτον διδασκαλίαν, ναὶ μήν, καὶ τὰ προνόμια ταύτης, ἀκραιφνῆ συνδιασώζειν, ἐξηκριβωμένοις ταλαντεύων σταθμοῖς, καὶ μηδὲν παρὰ θάτερα νεύειν, κρούειν τε σταθμὸν ἑτερόζυγα, ἀλλ' εὐθυβόλως ἰθύνειν, καὶ οὕτω δεφεντεύειν ἀκάμαντα. Ἵνα, τῆς εὐκταίας ἐκείνης ἀξιωθῇς ἀκοῦσαι φωνῆς, ἐν ἡμέρᾳ

[1] Γρ. προχείρισιν.



ἐπισκοπῆς, εὖ δοῦλε ἀγαθέ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Τοῦτο παρὰ ταῦτα, πρὸς τὸ μακαριστὸν εἶναι δηλαδὴ παρὰ Θεῷ, ἀγαπητόν τε, καὶ οὐχ ἧττον ἔνδοξον παρ' ἀνθρώποις ἀναδείξῃ σε· [1] οἶσθα γὰρ ὅπως, τοῖς ἄλλως, ἢ ὡς ἔχουσιν ὑποκρινομένοις, καὶ ἄλλως ἀποκείσεται δεινὰ τὰ ἐπίχειρα. Τέως οὐκ ἔνεστι γράφειν διεξοδικώτερον τὰ δέοντα, τῆς τοῦ καιροῦ μὴ προτρεπούσης ἀνωμαλίας. Ἂν δ' ὁ Θεὸς τῆς εἰρήνης, ἐξαποστείλας τὸ ἔλεος αὐτοῦ, χαρίσῃ διαλλαγὴν καὶ εἰρήνην, μεταξὺ τῶν ἑκατέρων μερῶν ἐξουσιαστῶν, ἐλευθέρᾳ χειρί, πάντως ἐπιγενήσεται, τὸ γράφειν ἐνδελεχῶς, ὅσα προσήκει τῇ ἐκκλησιαστικῇ τάξει, καὶ συνηθείᾳ. Ἐλάβομεν καὶ τὸ σηρικὸν ὕφασμα, τὸ πρὸς ἡμᾶς σου δῶρον, καὶ ἀντιδωρούμεθά σοι, τὴν παρὰ τοῦ ἀποστολικοῦ, καὶ οἰκουμενικοῦ θρόνου, εὐχὴν καὶ εὐλογίαν. Ταῦτα μέν, ἐπὶ τοῦ παρόντος, ἡ δὲ τοῦ Θεοῦ χάρις, εἴη μετὰ τῆς σῆς ἱερότητος. αχπζ.ῳ αὐγούστῳ ιη'.

✠ Ὁ Κωνσταντινουπόλεως ἐν Χριστῷ αὐτῆς ὡς ἀδελφός.

† Ὁ Ἡρακλείας Βαρθολομαῖος καὶ ἐν Χῷ ἀδελφὸς τῆς σῆς πανιερότητος. † Ὁ Ἰκονίου Κύριλλος (;) τῆς σῆς πανιερότητος ἐν Χῷ ἀδελφός. † Ὁ Χαλκηδόνος Σαμουὴλ (;) [2] καὶ ἐν Χῷ ὑμῶν ἀδελφός. † Ὁ Προύσης Καλλίνικος καὶ ἐν Χῷ αὐτῆς ἀδελφός. † Ὁ Ῥόδου Παρθένιος καὶ ἐν Χῷ αὐτῆς ἀδελφός. † Ὁ Χίου (;) Γρηγόριος καὶ ἐν Χῷ αὐτῆς ἀδελφός. † Ὁ Δέρκων Μακάριος καὶ ἐν Χῷ αὐτῆς ἀδελφός.

[1] Γρ. ἀναδείξει σε. — [2] Ὁ Λεκυῆνος (Oriens Christ. T. Α'. σελ. 612) ἀντὶ τούτου, ἔχει Κλήμεντα.

## ΙΒ'.

(Εἰς μεμβράναν)

# ΔΙΟΝΥΣΙΟΣ

### ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. [1]

Τὴν μὲν διαφορὰν τῶν ἐπιστημῶν ἡ ἀριςοτελικὴ ἀγχίνοια τρισὶ τούτοις ὑποκειμένῳ τρόπῳ καὶ τέλει διατετράνωκε, τὴν δὲ πρὸς ἀλλήλας τούτων ὑπεροχὴν, νῦν μὲν ἐκ τοῦ ὑποκειμένου, νῦν δὲ ἀπὸ τοῦ τέλους, ἐνίοτε δὲ καὶ ἐξ ἀμφοῖν διέγνωκε· θαυμασίως διερμηνεύων ταῦτα καὶ εἰσηγούμενος τοῖς γλιχομένοις ἐπιςημῶν ἅπτεσθαι ἀσφαλῶς, καὶ μὴ χωλαίνειν ἀμφοῖν τοῖν ποδοῖν ἢ γοῦν τῷ ἑτέρῳ· ἀλλὰ καὶ τὸν τρόπον τῆς θεωρίας ἐξυμνεῖ ἅτε τὰ διεστῶτα τῇ φύσει εἰς ἑνὸς ὁλοκλήρου γένους ἐπιστητοῦ συμπλήρωσιν διευθετοῦντα· τῶν δὲ ὑπερκοσμιων ἐπιστημῶν τὰς διαφοράς τε καὶ ὑπεροχὰς, ἡ πνευματοκίνητος λύρα ὁ κρυφιομύςης ἐξ Ἀρείου πάγου Διονύσιος ἁγιςίαις ἐξυμνουμέναις καὶ τελεταρχικαῖς διαγνώσεσι διεσάφησεν, οὐ διὰ τῶν χαμαὶ συρομένων καὶ πλανωμένων χαρακτήρων, οἷον ἀπαγορεύει ὁ τῆς θεολογίας ἐπώνυμος, ἀλλὰ διὰ

[1] Ἐκ Θησαυροφυλ. τῆς Ἀδελφότ., Ἀριθ. 19. — Διὰ τοῦ παρόντος Χρυσοβούλλου ἐπικυρεῖ ὁ Πατριάρχης τὴν Μελετίου τοῦ Τυπάλδου χειροτονίαν (Βλ. Ὑπόμν. σελ. 79.) ὡς νόμιμον καὶ κανονικὴν, ἀνυψῶν αὐτὸν συνοδικῶς εἰς τὸ Φιλαδελφείας ἀξίωμα. — Ἐσφράγισται δὲ τὸ ἔγγραφον μολυβδίνῃ σφραγίδι.



λόγων ἀμεταθέτων, καὶ ἀποδείξεων σφοδροτέρων, οἷαι εἰσὶν αἱ τοῦ παναγίου πνεύματος πανάγιαι πνεύσεις τῇ ἱερᾷ καὶ προφητικῇ γραφῇ ἱερομύστως ταμιευόμεναι· καὶ οὐρανοδρόμων μὲν γεγονὼς τῷ νοῒ τὰ ἐν οὐρανοῖς ἱεροτελεστίαις ἱεροτελεστικῶς διεσάφησε, καὶ εἰς τριττὰς τρισσουμένας τάξεις διένειμε, καὶ θεολογικῶς τὰς θεολογικὰς ἐπιστήμας τούτων ἡρμήνευσε, καὶ Ἱεραρχίας οὔσας ἀπαραμίλλους ταύτας ἀπέδειξεν· καὶ τὴν τῶν πρωτοτόκων Ἐκκλησίαν συναυλιζομένην αὐταῖς καὶ θριαμβεύουσαν διεσάφησεν. Τί δ' ἂν εἴποιεν ἄν τις ὅσα τε καὶ οἷα περὶ τῆς ἐμπαρόδῳ Ἐκκλησίας ἡρμήνευσεν; δι' ἣν ὁ πατὴρ τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἵνα φείσηται ταύτης, κατὰ τὸν θεῖον Ἀπόστολον· ἅττα καὶ γνώσει δυσκατάληπτα, καὶ νοῒ δυσνόητα, θείας ἐπικουρίας δεόμενα τοῖς ποθοῦσιν ταῦτα εἰδέναι σαφῶς· ὧν ἁπάντων τὴν Ἱερωσύνην ἀναπτύσσων, καὶ τὰς αὐτῆς ἱερὰς μαρμαρυγὰς ἀνακαλύπτων, δίδωσι κατανοεῖν, ὅσον καὶ οἷον ἐν τῷ μετὰ σώματος βίῳ τὸ ταύτης ὠφέλιμον· ἥτις καὶ βασιλείας αὐτῆς ὑπέρκειται καὶ ἐξουσίας ἁπάσης ὑπερίδρυται, διά τε τὸ ὑποκείμενον καὶ τὸ τέλος. Ὅσον γὰρ διαφέρει ψυχὴ σώματος, τοσοῦτον Ἱερωσύνη βασιλείας· ἅτε τῆς μὲν περὶ τὰ ἀνθρώπινα καταγινομένης, νόμοις κειμένοις τῆς σωματικῆς φροντιζούσης σωτηρίας· τῆς δὲ περὶ ψυχὰς καὶ τὰ θεῖα διὰ τῶν πανιέρων μυστηρίων φροντίδα τῆς ψυχικῆς σωτηρίας ἀντιποιουμένης. Αὕτη καὶ γὰρ ὡς θειότατον χρῆμα τῷ ὄντι καὶ τελεσιουργώτερον τῶν ἄλλων ἐν Χριςιανοῖς μυστηρίων ὑπ' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν νενομοθέτηται, ἡνίκα τοῖς ἱεροῖς Ἀποστόλοις ἀγαθοδότως καὶ κρυφιομύστως αὐτοῖς ἐνετείλατο φάσκων· » τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν »· καὶ » πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Δι' αὐτῆς γὰρ οἱ ἐπὶ γῆς

τοῖς ἐν οὐρανῷ συναυλίζονται, ἁμαρτημάτων ῥύποι καθαίρονται, ἁγιωσύνης σταλαγμοὶ ταῖς τῶν ἐκλελεγμένων ψυχαῖς, καὶ πᾶν ὅ, τι ἄλλο σωτήριον ἀναποτίθεται. Ὅθεν καὶ ἐν τῇ περιπεπτυγμένῃ ἡμῖν Ἀποκαλύψει τοῦ εὐαγγελιστοῦ εἴρηται· « καὶ ἔσονται βασιλεῖς καὶ Ἱερεῖς » τήν τε μυστηριώδη καὶ τὴν πνευματικὴν Ἱερωσύνην ὁμοῦ διὰ τοῦ ῥητοῦ τούτου ἱεροπρεπῶς δηλουμένας. Ταύτης οὖν τῆς μυστηριώδους Ἱερωσύνης ἐπινεύσεσι θειοτέραις τῆς πρωτίστης ἕδρας ἡ μετριότης ἡμῶν τετυχηκυῖα, καὶ τοῦ παγκοίνου σκάφους τοὺς παγκοίνους οἴακας οἰακοστροφοῦσα, γενναίαν φροντίδα κατεβάλλετο ἐπισκοπεῖν [1] τάς τε πόῤῥω καὶ ἐγγὺς παροικίας τὰς ὑποκειμένας τῷ οἰκουμενικῷ ἁγιωτάτῳ καὶ ἀποστολικῷ θρόνῳ, καὶ ἀγρύπνοις ὄμμασι διευθετεῖν ἑκασταχοῦ· ὥστε μηδεμίαν τούτων ἐν στερήσει τῆς τοιαύτης μυστηριώδους χάριτος εὑρίσκεσθαι. Καὶ δὴ πληροφορηθεῖσα ὅτι ἡ ἁγιωτάτη μητρόπολις Φιλαδελφίας ἠμοίρει μὲν ταύτης τῆς θεοβραβεύτου ἐπιστασίας, ἅτε τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος πρότερον κὺρ Γερασίμου [2] τὸ ζῆν θανάτῳ φυσικῷ ἐκμετρήσαντος, κ᾽ πρὸς τὰς αἰωνίου σκηνὰς εἰσελάσαντος, ἐπὶ τῆς πατριαρχείας τοῦ πρὸ ἡμῶν πατριαρχεύσαντος κὺρ Ἰακώβου, δέδοται δὲ παρ᾽ ἐκείνου κατὰ τὰς κατὰ τόπον συνήθεις ψήφους, διὰ κλήρων ὁλοκληρίαν ἔκδοσις ἐπὶ χειροτονίᾳ, ἐκλεγέντος, καὶ τῶν προβεβλημένων ἄλλων προτιμηθέντος τε, καὶ προκριθέντος τῷ τότε τοῦ ἐν διδασκάλοις λογιωτάτου κὺρ Μελετίου, ἀνδρὸς ὡς παρὰ πολλῶν μεμαρτύρηται, κοσμιότητι διαπρέποντος, οὐ μόνον ἐκ μαθήσεως, ἀλλὰ καὶ ἐκ φύσεως πνευματικῶς ἄρχειν εἰδότος, ἐκ νέας διὰ σπουδῆς ἐπιστημῶν ἐννεάσαντος, φυσικοῖς τε προτερήμασι καὶ ἐπικτήτοις

[1] Γρ. ἴσ. κατεβάλετο. — [2] Τοῦ Βλάχου δηλονότι.



κατακοσμηθέντος, καὶ τοῦ ἐκεῖσε φροντιστηρίου διδάσκαλος χρηματίσαντος, καὶ τῇ τοῦ πρεσβυτέρου ἀξίᾳ διαπρέψαντος ὡς εἰκὸς, εἶτα καὶ τὸ ἀγγελικὸν σχῆμα ἀμφιασαμένου, καὶ προκαταβολὰς ἐπὶ μείζονος ἀξίᾳ προκαταβεβλημένου, ἐπὶ τὸ ἀναδεχθῆναι τὴν ποιμαντικὴν ῥάβδον τῆς μητροπόλεως ταύτης Φιλαδελφίας καὶ προστάτην ἀποκαταστῆναι. Τοιγάρτοι κατὰ τὴν πατριαρχικὴν ἔκδοσιν, τοῦ διαλειφθέντος παρὰ τριῶν συλλειτουργούντων χειροτονηθέντος τῇ ἐπικλήσει τοῦ παναγίου Πνεύματος, ἐπὶ προστασίᾳ τῆς μητροπόλεως ταύτης, ἔγνωσται ἡμῖν τὴν τοιαύτην χειροτονίαν κατασφαλίσαι τε καὶ ἐπικυρῶσαι κατὰ τοὺς ὅρους τῶν ἱερῶν συνόδων. Καὶ δὴ γνωμοδοτήσεως συνοδικῆς τῶν περὶ κατατυχόντων ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, τοῦ Ἡρακλείας κὺρ Βαρθολομαίου, τοῦ Κυζίκου κὺρ Κυρίλλου, τοῦ Χαλκηδόνος κὺρ Γαβριὴλ, τοῦ Ῥόδου κὺρ Παρθενίου, τοῦ Προύσης κὺρ Καλλινίκου, τοῦ Δέρκων κὺρ Μακαρίȣ, γεγονυίας κεκύρωται καὶ κατεσφάλισται, [1] καὶ ἐπιβεβαίωται, κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, ἥ τε ψῆφος καὶ ἡ χειροτονία αὕτη, ὡς νόμιμος καὶ κανονική. Ὅθεν ὀφείλει ὁ διαλειφθεὶς αὐτὸς οὗτος ἱερώτατος μητροπολίτης Φιλαδελφίας καὶ ὑπέρτιμος ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Μελέτιος, λαβέσθαι τε νοερῶς καὶ ἐπιλαβέσθαι τῆς θεόθεν αὐτῷ κληροδοτηθείσης μητροπόλεως ταύτης, καὶ εὐλογεῖν καὶ ἁγιάζειν τοὺς ἐν αὐτῇ χριστιανοὺς, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν, μετὰ καὶ τῆς ἱερᾶς συνθρόνου ἐγκαθιδρύσεως, ὡς γνήσιος καὶ νόμιμος, καὶ κανονικὸς μητροπολίτης ταύτης,

[1] Γρ. κατησφάλισται.

ἀναγνώστας σφραγίζειν, διακόνους καὶ ὑποδιακόνους χειροτονεῖν, καὶ εἰς τὸ τῶν πρεσβυτέρων ἀξίωμα προβιβάζειν, μοναχοὺς καὶ μοναζούσας κείρειν, ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίῳ ἰδίῳ, ἐνταλτήρια διδόναι ϗ διδάσκειν ϗ κηρύττειν τὰ τῆς ἀνατολικῆς Ἐκκλησίας δόγματά τε ϗ διδάγματα, ϗ φυλάττειν αὐτὰ ἀμετάτρεπτα ϗ ἀνόθευτα, ϗ ἀπαρεγχείριστα, βασιλικὴν βαδίζειν ὁδὸν καὶ ἐπὶ θάτερα ἀποκλίνειν· καὶ ἐξουσιάζειν πάντων τῶν τῆς μητροπόλεως κτημάτων τε καὶ ἀφιερωμάτων, κινητῶν τε καὶ ἀκινήτων, καὶ σπεύδειν τῆς αὐξήσεως αὐτῶν καὶ βελτιώσεως, καὶ εἰσηγεῖσθαι τοὺς ἐν αὐτῇ Χριστιανοὺς τὰ ψυχωφελῆ καὶ σωτήρια, οὐ μόνον ταῖς ἀπὸ γλώσσης νουθεσίαις, ἀλλὰ πολλῷ μᾶλλον ταῖς ἀπὸ τοῦ ἰδίου βίου χειραγωγίαις, τύπος ϗ ὑπογραμμὸς τοῖς πᾶσι γινόμενος, ἵνα τοὺς πάντας κερδήσῃ ἢ πλείονας, κλάειν μετὰ τῶν κλαιόντων, καὶ χαίρειν μετὰ τῶν χαιρόντων, καὶ καρποῦσθαι καὶ λαμβάνειν τὰ ἀπὸ συνηθείας ἐκκλησιαστικὰ δικαιώματα· οὐδεὶς γὰρ στρατεύεται ὀψωνίοις ἰδίοις κατὰ τὸν θεῖον Ἀπόστολον· ὀφειλόντων καὶ πάντων τῶν ἐν τῇ μητροπόλει ταύτῃ ἐντιμοτάτων κληρικῶν, εὐλαβεστάτων ἱερέων, ὁσιωτάτων ἱερομονάχων, εὐγενεστάτων καὶ χρησιμωτάτων ἀρχόντων καὶ ἀδελφῶν, καὶ τοῦ λοιποῦ χριστιανικοῦ πληρώματος, ἀπονέμειν αὐτῷ τὴν προσήκουσαν τιμὴν καὶ εὐλάβειαν καὶ δεξίωσιν, καὶ ὑπείκειν καὶ ὑποτάσσεσθαι, ὡς πνευματικῷ αὐτῶν πατρί, καὶ διδασκάλῳ, καὶ ποιμένι, καὶ κατ' οὐδὲν ἀντιλέγειν ἢ ἀντιφέρεσθαι τοῖς παρ' αὐτοῦ λεγομένοις παραγγέλμασί τε καὶ νουθετήμασι· καὶ μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις τελεταῖς καὶ ἀκολουθίαις, καὶ συντρέχειν καὶ βοηθεῖν αὐτῷ ἐν ταῖς ἀναγκαίαις αὐτοῦ χρείαις, ἀγρυπνοῦντι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ὡς λόγον ἀποδώσοντι, ἵνα μὴ στενάζων τοῦτο ποιῇ, ἀλυσιτελὲς γάρ, καὶ διδόναι εὐγνωμόνως καὶ εὐπειθῶς



τὴν προσήκουσαν ἐλεημοσύνην καὶ βοήθειαν πατρὶ καὶ ποιμένι, καὶ εἴτι ἄλλο ἀπὸ συνηθείας ἀρχαίας. Ὁ γὰρ παρὰ ταῦτα διανοούμενος πρᾶξαι καὶ ἐνδεικνύμενος ἀπείθειαν, ὁ τοιοῦτος ὡς ἀλαζὼν οὐ μόνον τῆς τοῦ Θεοῦ ὀργῆς πειραθήσεται καὶ ἀγανακτήσεως, ἀλλὰ καὶ βαρυτάτοις ἐπιτιμίοις καθυποβληθήσεται· ἡ γὰρ πρὸς τὴν αὐτοῦ ἱερότητα γινομένη τιμὴ καὶ εὐλάβεια, πρὸς τὴν ἡμῶν μετριότητα διαβαίνει, καὶ δι' αὐτῆς πρὸς Θεόν, οὗ τύπον σώζουσιν οἱ Ἀρχιερεῖς ἐπὶ γῆς. Ἐπὶ γὰρ τούτοις ἅπασι, καὶ ἡ παροῦσα πρᾶξις ἀπολυθεῖσα δέδοται διὰ σφραγῖδος τῷ διαληφθέντι αὐτῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφίας καὶ ὑπερτίμῳ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ, κὺρ Μελετίῳ: — Ἐν ἔτει τῷ σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ: κατὰ μῆνα Ὀκτώβριον: Ἐπινεμήσεως δεκάτης.

✠ Διονύσιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

## ΙΓʹ.

(Εἰς χάρτην)

# ΚΑΛΛΙΝΙΚΟΣ

ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. [1]

Ἱερώτατε μητροπολῖτα Φιλαδελφείας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λυδίας, ἐν ἁγίῳ Πνεύματι, ἀγαπητὲ ἀδελφέ, καὶ συλλειτουργὲ της ἡμῶν μετριότητος, κὺρ Μελέτιε, χάρις εἴη σου τῇ ἱερότητι, καὶ εἰρήνη ἀπὸ Θεοῦ. Γράμματα τῆς ἀρχιερωσύνης σου, ἅπαξ καὶ δὶς, ἐλάβομεν, καὶ ἐκ τῶν τοῦ καιροῦ περιστάσεων, δὲν τῆς ἐδώσαμεν τὴν ἀπόκρισιν. Ἤδη δὲ, ἐν Ἀδριανουπόλει διατρίβοντες, δι ἀναγκαίας χρείας, ϗ ὑποθέσεις τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ τε, καὶ οἰκουμενικοῦ θρόνου, ἐλάβομεν καὶ τρίτον αὐτῆς γράμμα, δι οὗ, γνόντες τὴν ἀγαθὴν αὐτῆς ὑγιείαν, ἐχάρημεν, ϗ τὰ γραφόμενα ἐκαταλάβαμεν. Πρῶτον παραπονεῖται, πῶς δὲν τὴν ἐγράψαμέν ποτε, τὸ ὁποῖον ἂς τὸ ἀποδώσῃ εἰς τὸ ἀνώμαλον τοῦ καιροῦ, καὶ εἰς τὰ αὐτοῦ ἐνδεχόμενα, ὧν ἕνεκεν, ἀμοιρεῖ συχνῶν ἡμετέρων γραμμάτων. Δεύτερον δὲ, μᾶς σημειώνει, περὶ τῆς κατ' αὐτῆς φημισθείσης συκο-

[1] Ἐν Θησαυροφ. τῆς Ἀδελφ., Ἀριθ. 24. — Ἔστι δὲ πρὸς Μελέτιον Τυπάλδον ἡ Ἐπιστολὴ, ἰδίως γράψαντα τῷ Παναγιωτάτῳ Καλλινίκῳ τῷ Β'.



φαντίας, καὶ διαβολῆς τινῶν χαιρεκάκων καὶ φιλοκατηγόρων, ὡς φρονεῖ δῆθεν τἀναντία τῆς καθ' ἡμᾶς καθολικῆς καὶ ἀποστολικῆς Ἀνατολικῆς τοῦ Χριστοῦ, ἁγίας Ἐκκλησίας. [1] Τὰ τοιαῦτα μέντοι, εἰ καὶ νὰ ἔφθασαν καὶ εἰς τὰς ἡμετέρας ἀκοὰς, ἀλλ' οὐδαμῶς τὰ ἐπιστεύσαμεν, μήτε ἀκρόασιν ἐδώσαμεν ἐν τούτοις, ἔχοντες ἐξ ἀκοῆς, ἀπό τινων φιλαληθῶν, καὶ πρὸς αὐτὴν ἀπαθῶς διακειμένων, ὅτι φρονεῖ τὰ καθ' ἡμᾶς, ὑγειῶς τε, καὶ ἀπαραλλάκτως, καὶ μάλιστα ἐβεβαιώθημεν ἐν τούτῳ, παρὰ τοῦ κορυφαίου τῶν σῶν φοιτητῶν, ἐλλογιμωτάτου ἀκέςορος, κὺρ Ἀνδρέου τοῦ Λικινίου. [2] Εἴθε δ' ὡς ἠκούσαμεν, καὶ ἐμάθομεν, καὶ ἐβεβαιώθημεν, ἀξιώσει (γρ ἀξιώσοι) αὐτὴν ὁ Κύριος, δοξάζειν καὶ φρονεῖν ὀρθοδόξως, μέχρι τελευταίας αὐτῆς ἀναπνοῆς, προκόπτȣσα ἐπὶ τὸ κρεῖττον, ἐκ τῷ εὐαγγελίῳ τοῦ Ἰησοῦ Χριςοῦ, ϗ Θεοῦ ἡμῶν. Καὶ τρίτον γράφει διά τινα ψευδασκητὴν, ὀνόματι Συμεὼν, ὡς ἤγαγεν αὐτόθι, εἰς τὴν πολιτείαν ταύτην, γράμμα πατριαρχικὸν, παρέχον ἄδειαν, τῷ πρώην Κεφαληνίας Παϊσίῳ, ἀθέσμως, ἀκόσμως τε, ϗ ἀσέμνως σεμνύνεσθαι ἐν ταῖς ἱεραῖς τελεταῖς, πατριαρχικῇ μάλιςα μίτρᾳ τὴν κεφαλὴν κοσμούμενον. [3] Ὅπερ γράμμα πάντη ἐστὶ ψευδὲς, καὶ ῥαδιουργίας ἔργον, καὶ ἀποτέλεσμα· πρῶτον, ὅτι ποτὲ εἰς τὴν ἱερὰν ὁμήγυριν, τῶν συναδελφῶν ἡμῶν ἀρχιερέων, δὲν ἡ-

[1] Οὐκ ἐσυκοφαντήθης, οὐ διεβλήθης, προδοσίαν πίστεως μελετήσας, Μελέτιε· ἀλλ' ἐφωράθης, ἀλλ' ἐπεγνώσθης, δι' αὐτῆς τῆς σῆς πλάνης καὶ ἀσεβείας! (Ἀνάγνωθι τοῦ ἡμετέρου Ὑπομνήμ. σελ. 79, 80.)— [2] Κατὰ τὸν ὑπὸ Σάθα ἀναφερόμενον (ἐν Νεοελλ. Φιλολ. σελ. 443) φιλοπονώτατον Γ. Ζαβίραν, ἦν μὲν ὁ Λικίνιος ἐκ Κερκύρας (Μονεμβασίας ὀρθότερον) περιβόητος ἰατρὸς, τελευτήσας τῷ 1715. Ὡς δὲ φίλος ἐπιστήθιος τοῦ Μελετίου, ἢ τὸν δόλιον ἠγνόει, ἢ συνεψεύδετο μετ' αὐτοῦ. — [3] Ἀμιλλᾶσθαι δῆθεν βουλόμενος τοὺς Φιλαδελφείας Μητροπολίτας.

κούσθη, μήτε ὅλως ἐγροικήθη, νὰ δοθῇ τοιοῦτον γράμμα· δεύτερον, ὅτι ἂν ἐδίδετο, ἤθελε πλουτεῖ καὶ τὰς ὑπογραφὰς τῶν ἄλλων ἀρχιερέων· τρίτον, ἤθελεν εἶςαι [1] κατὰ τὸ ἔθος τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, ϗ ἐν τῷ ἱερῷ αὐτῆς κώδικι κατεστρωμένον, εἰς ἔνδειξιν. Ἅ τινα τρία ταῦτα, εἰσὶ χαρακτηριστικὰ, ϗ βεβαιωτικὰ τῶν τοιούτων ἐκδεδομένων γραμμάτων. Ἐπεὶ δὲ, τὸ γράμμα ἐκεῖνο, καὶ τῶν τριῶν τούτων ἀμοιρεῖ, φανερὸν ἐστὶν, ὡς ὑπάρχει νόθον καὶ σκότιον. Ὅθεν, ἔστω, καὶ λεγέσθω, καὶ μενέτω ἄκυρον τελείως, καὶ διαπαντὸς ἀνίσχυρον, εἰς οὐδὲν λογιζόμενον, καὶ ὡς μηδέποτε γεγονός. Ἔτι τὸ τοιοῦτον ψευδεπίπλαστον γράμμα, λέγεις πῶς νὰ ἐδόθη, διὰ τὸν πρώην Κεφαλληνίας Παΐσιον· τὸν δὲ μετὰ τὸν Παΐσιον, ῥηθέντα Τιμόθεον, ἀγνοοῦμεν ἡμεῖς, καὶ, εἰ ὅλως ἐςὶν ἀρχιερεὺς, καὶ πόθεν τὴν χειροτονίαν ἔλαβεν, οὐ γινώσκομεν. [2] Περὶ δὲ τῶν γιγνομένων κατὰ τόπους ἀτοπημάτων ὁποῦ γράφεις, μηδενὸς τὰ τοιαῦτα, κωλῦσαι ἰσχύοντος, τοῦτο εἶναι σύμπτωμα τοῦ καιροῦ, κρίμασιν οἷς οἶδε Κύριος· [3] ὅς τις νὰ εὐδοκήσοι, [4] τῷ ἀπείρῳ αὐτοῦ ἐλέει, νὰ ἐξετασθοῦν ποτὲ, ϗ νὰ ἐμποδισθοῦν τόσον τὰ τοιαῦτα ἄτοπα, ὅσον καὶ τὰ τοῦ παρανόμως ἀρχιερατεύοντος ἐκεῖσε Τιμοθέου, καὶ νὰ ἔλθουν εἰς εὐθύτητα κανονικὴν, κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβεστάτην τάξιν, καὶ διατύπωσιν. Τὰ ὅσα μᾶς σημειώνει πῶς μᾶς πέμπει διὰ τοῦ

[1] Οὕτως ἐν τῷ χειρογράφῳ.— [2] Τὸν Τιμόθεον τοῦτον, ἴσως ὡς παρανόμως ἀναξάντα, μετὰ τὸν Παΐσιον, τὸν Κεφαλληνίας θρόνον, οὐ μνημονεύει Λεκυῆνος (Oriens Chr. T. B'. σελ. 235), καίτοι οὐκ ὀλίγα ἔχει τὰ χάσματα. — [3] Ὁ τῆς ἐκκλησιαστικῆς εὐταξίας καὶ διατυπώσεως ζῆλον ὑποκρινόμενος, τὰ μὲν τῶν ἀλλοτρίων ἀτοπήματα ἐνεκάλει, τὰ δ' ἑαυτοῦ ὑπεκρύπτετο. — [4] Γρ. εὐδοκήσῃ.



Μανουὴλ Βουβουλίου [1] δωρήματα, εὑρίσκονται ἀκόμη εἰς τὰς χεῖρας, τοῦ κὺρ Ἀνδρέου Λικινίου, καθὼς μᾶς γράφει, καὶ ὅταν πηγαίνομεν σὺν Θεῷ εἰς τὴν πόλιν, θέλομεν τὰ παραλάβει· καὶ εἰς πολλὰ ἔτη της. Ἂς ἔχωμεν δὲ καὶ αὖθις γράμμα της, δηλωτικὸν τῆς ὑγείας της· καὶ ἡ χάρις τοῦ Θεοῦ, εἴη μετὰ τῆς σῆς ἱερότητος. ᾳ χ ψ βῳ σεπτεμβρίῳ ιη'.

✠ Ὁ Κωνσταντινουπόλεως, καὶ ἐν Χριστῷ αὐτῆς ἀδελφός.

(Ἡ ἔξω ἐπιγραφή). » Τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Λυδίας, κὺρ Μελετίῳ, τῷ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ, καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος. «

[1] Ἀμφιτάλαντος περὶ πίστιν οὗτος ὁ Μανουὴλ, συγγενὴς τοῦ γνωστοῦ, καὶ ἴσως ὁμόφρονος αὐτῷ, Νικολάου κρητὸς τοῦ Βουβουλίου. Τοῦ δὲ Πατριάρχου τὴν εὔνοιαν θωπείαις τε καὶ δωρήμασιν ἐθήρευεν ὁ πλάνος Μελέτιος.

# ΙΔ΄.

## (Ἀντίγραφον) (*)

## ΚΥΡΙΛΛΟΣ

### ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

Αἰδεσιμώτατε Πρωτοπαπᾶ τῆς Νήσου τῶν Κορυφῶν, υἱὲ κατὰ πνεῦμα ἀγαπητὲ τῆς ἡμῶν μετριότητος· ἐντι-

(*) Τοῦτο τὸ παρὰ τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας δικαίως ἐκτοξευθὲν καθαιρετικὸν τοῦ Φιλαδελφείας Μελετίου καὶ ἀφοριστικὸν Συνοδικὸν Γράμμα ἀνερεύνητον ἤδη ἐστὶν ἐν τῷ ἀρχιεπισκοπικῷ τῆς Κεφαλληνίας Γραμματείῳ, ὅπου ἐκ τῆς ἰταλικῆς μεταφράσεως ἐν τοῖς τῶν Ἑνετῶν Ἀρχ. σωζομένης (Filze Ἀριθ. 6. Comunicate del Cons.° de' X. — Senato IV. Secreta) φαίνεται ἀποστείλας ὁ Παναγιώτατος καὶ πρὸς τὸν Ἅγιον Κεφαλληνίας καὶ Ζακύνθου. (Βλ. ἡμέτερον Ὑπόμνημα σελ. 85, 86.) Μαθόντες δὲ παρὰ τοῦ κ. Σάθα, ὅτι τὸ σπάνιον ἔγγραφον διατετηρημένον ὑπάρχει παρὰ τῷ ἐν Λευκάδι Σχολάρχῃ καὶ μουσοφιλήτῳ κυρίῳ Ἰωάννῃ Ν. Σταματέλῳ, ἐδεήθημεν αὐτοῦ (φιλοφρόνως μεσιτεύοντος τοῦ Ἱππότου καὶ κλεινοῦ ἡμῖν φίλου Ἀριστοτέλους Βαλλαωρίτου), ὅπως λάβωμεν ἀντίγραφον τούτου πρὸς δημοσίευσιν. Γενναίως δὲ συγκατανεύσαντος τοῦ φιλογενεστάτου κ. Σταματέλου, πολλὴν ὀφείλομεν αὐτῷ τε καὶ τοῖς φίλοις αὐτοῦ τὴν εὐγνωμοσύνην.
Τοῦ δὲ νῦν ἀκριβῶς ἐκδιδομένου πολυτίμου Πατριαρχικοῦ Γράμματος (οὗτινος ἀντιγραφή ἐστι τοῦ παρελθόντος αἰῶνος τὸ παρὰ τῷ κ. Σταματέλῳ σωζόμενον) προηγεῖται τίτλος τοιοῦτος· «Συνοδικὴ καθαίρεσις τοῦ ἀποστατήσαντος τῆς Ἀνατολικῆς Ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας Μελετίου Τυπάλδου, τοῦ ἐν ταῖς κλειναῖς Ἑνετίαις Μητροπολίτου Φιλαδελφίας, χρηματίσαντος ἐν τῷ πανσέπτῳ ναῷ τοῦ Ἁγίου Γεωργίου τῶν Ῥωμαίων. Ἐπέμφθη δὲ εἰς τὸν τότε παναιδεσιμώτατον Μέγαν Πρωτοπαπᾶν Κ. Κ. Ἀναστάσιον Αὐλωνίτην διὰ τοῦ Πανιερωτάτου Ἰωαννικίου (γρ. Ἰωαννίνων) Κ. Κ. Κλήμεντος.»



μότατοι κληρικοί, εὐλαβέστατοι Ἱερεῖς, εὐγενέστατοι Ἄρχοντες καὶ λοιποὶ πάντες εὐλογημένοι Χριστιανοί, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν, καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παρ' ἡμῶν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις.

Πολλὰ μὲν εἰσὶ καὶ ἄλλα τὰ καταβιβάζοντα καὶ καθαιροῦντα τοὺς παρὰ τὰ διατεταγμένα ἐκτρεπομένους, καὶ μὴ φυλάττοντας τῆς ἰδίας ἐπαγγελίας τὰ ὅρια, [1] τῆς ἀρχιερατικῆς ἀξίας καὶ χάριτος· οὐχ ἧττον δὲ τῶν ἄλλων ὑπεύθυνον ἀποκαθιστᾷ καὶ ὑπὸ ποινὴν τίθησι τὸ τῆς ἀποστασίας καὶ ἀθετήσεως ἔγκλημα, τὸν ἀποστατοῦντα ἀπὸ τῶν τοῦ Θεοῦ δικαιωμάτων, καὶ ἀθετοῦντα τὰς πρὸς Θεὸν συνθήκας αὐτοῦ, δι' ὧν ἀνεδέξατο ψυχὰς εὐσεβῶν, καὶ ὑπέσχετο καθοδηγεῖν αὐτὰς καὶ ἰθύνειν πρὸς σωτηριώδη κατάστασιν, ἀγρυπνεῖν τε ὑπὲρ αὐτῶν, καὶ τὴν ἰδίαν ψυχὴν τιθέναι, ὥστε καθαρευούσας παραστῆσαι ταύτας, καὶ ἀπηλλαγμένας πάσης τε κηλῖδος, κακονοίας τε καὶ κακοδοξίας, ναὶ μὴν καὶ ἑαυτὸν ἐν τῷ φοβερῷ κριτηρίῳ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ κοινῆς ἀνταποδόσεως· εἶτα τολμηρῶς καὶ ἀναιδῶς ἔναντι Θεοῦ ψευσάμενον, ἀπατεῶνά τε καὶ ὑποκριτὴν καὶ προδότην ἀναφανῆναι, ἀντὶ καλοῦ ὁδηγοῦ καὶ σωτῆρος τῆς ἐγχειρισθείσης αὐτῷ ἐκλεκτῆς τοῦ Θεοῦ παρακαταθήκης· δικαίως ἄρα καὶ ἐξ ἀνθρώπων ἀποδοκιμάζεται, καὶ δι' ἀποκηρύξεως ἀλλοτριοῦται τῆς, ἧς ἔτυχεν ἀξίας καὶ χάριτος ὁ τοιουτοτρόπως διὰ τὸ κακότεχνον τῆς αὐτοῦ ψυχῆς καὶ προαιρέσεως ἀσυνετῶν, καὶ ἀλλοτρίως ζῆν αἱρούμενος τῶν ἐντολῶν τοῦ Χριστοῦ, καὶ τὰς κανονικὰς παραβαίνων διατάξεις,

[1] Ἴσ. λείπει καί.

καὶ τὰς ἁγιολέκτους καταχρώμενος χρήσεις (ἴσ. γρ. ῥήσεις), καὶ μὴ ἀξίως περιπατῶν τῆς κλήσεως, ἧς ἐκλήθη, κατὰ τὴν Ἀποστολικὴν ὑποθήκην, ἀλλὰ καταψευδόμενος φαίνεται τῆς ἐπαγγελίας αὐτοῦ, καὶ τὸ Πνεῦμα λυπῶν τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθη· καὶ γὰρ ἐφ' ὅσον ὁ ἔμφρων καὶ νουνεχὴς οἰκονόμος ἐπαινεῖται καὶ μακαρίζεται παρὰ τῆς θεσπεσίας φωνῆς, δόκιμος καὶ ἄξιος περὶ τὸ ἔργον φανεὶς τοῦ Θεοῦ, αἰωνιζούσης τε εὐκλείας καὶ οὐρανίου ἀνταποδόσεως ἀξιοῦται » δόξη [1] γάρ, φησὶ τὸ ἀποστολικὸν θεῖον λόγιον, καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸν ἀγαθόν « καὶ ὀρθῶς πολιτευομένῳ, εἰς τοσοῦτον πονηρὸς καὶ ἀχρεῖος δοῦλος ἀκούει ὁ κακέμπορος, ὃς τὴν ἐμπιστευθεῖσαν αὐτῷ διαστρέψας οἰκονομίαν, κακοσχόλως τε, καὶ κακούργως περὶ ταύτην ἐμπορευσάμενος, μακράν τε ἀποβάλλεται καὶ ἀποσκορακίζεται καὶ καταδικάζεται κανονικαῖς αὐστηρίαις, καὶ νόμων ἱερῶν ἀποφάσεσι, καὶ τῆς ἐκκλησιαστικῆς ὁλομελείας εὐλόγως τῇ πνευματικῇ ἀξίνῃ ἐκκόπτεται, ὡς καρποὺς πονηροὺς καὶ ἐπιθυμωμένους [2] ἀναδιδοὺς περὶ τὸν εὐθαλῆ καὶ ἀμώμητον περίβολον τοῦ Χριστοῦ, καὶ καθάπερ ἐξίτηλον ξύλον καὶ εὔθετον ἀποῤῥίπτεται πρὸς τὴν τοῦ ἐπαπειλουμένου πυρὸς ἀνάλωσιν, ὡς ἀποτρόπαιος καὶ θεοστυγής· » ἀπολεῖς, γάρ φησί, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος » καὶ » δόλιον ἄνδρα βδελύσσεται Κύριος » ἀπωλείας τῆς κατὰ ψυχὴν νοουμένης, τοῦ ἀπὸ Θεοῦ ἀπομακρυσμοῦ καὶ ἀποχωρισμοῦ· μακρυσμὸς δὲ καὶ ἀποχωρισμὸς ἀπὸ τῆς τοῦ Θεοῦ ἀληθείας εἰς τὸν τοῦ ψεύδους πατέρα παραπέμπει τὸν ἄνθρωπον, τουτέστιν αὐτὸν τὸν διάβολον, ᾧτινι ἀκολουθῶν καὶ κολώμενος (γρ. κολλώμενος), τὸ ἓν γίνεται κατὰ

[1] Γρ. δόξα. — [2] Γρ. ἴσ. ἐπιτιμωμένους.

SISMANOGLIO



πρᾶξιν καὶ λόγον, ἄλλο μὲν φαινόμενος καὶ ὑποκρινόμενος, ἄλλο δὲ ὤν, ὡς ἐκεῖνος πολλάκις καὶ εἰς ἄγγελον φωτὸς μετασχηματίζεται· διὸ καὶ σὺν ἐκείνῳ τέλος πάντων εἰς τὴν αἰωνίαν καὶ ἀτελεύτητον συγκαταδικάζεται κόλασιν.

Ἐπειδὴ τοιγαροῦν κατεφάνη καὶ ἐγνώσθη καὶ ὁ χρηματίσας, ὡς μὴ ὤφειλε, Μητροπολίτης Φιλαδελφίας Μελέτιος, ἀποστάτης δηλαδὴ καὶ ὑποκριτής, ἀπατεών τε καὶ δόλιος, καθὰ ἐδηλοποιήθη ἡμῖν, καὶ ἐπιστοποιήθη παρὰ πολλῶν, ὅστις μηδαμῶς τὸν φόβον τοῦ Θεοῦ ἐναποκείμενον ἔχων ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ τὴν τοῦ Θεοῦ κρίσιν καὶ ἀνταπόδοσιν εἰς νοῦν ὅλως μὴ θέμενος, ἀποστάτης ἐγένετο τῆς καθ' ἡμᾶς Ἀνατολικῆς Ἐκκλησίας, καὶ τῆς ὁλοκληρίας αὐτῆς ἀπεσκίρτησεν, ἑτερόδοξος ἄντικρυς καταστάς, ἀλλόκοτόν τε καὶ τερατῶδες ἐσχηκὼς φρόνημα, ὅπερ πολλάκις μὲν καὶ πρότερον παρὰ πολλῶν καὶ διαφόρων χριστιανῶν ἀνηγγέλθη ἡμῖν, ἀναβολὴ δὲ τῆς ὑποθέσεως ἐγένετο ὡς τόδε, καὶ συμπέρασμα καιροῦ περιμένουσιν ἰδεῖν τὸ τέλος εἰς πληρεστέραν πληροφορίαν· τανῦν δὲ αὐτὸς ἑαυτόν τε ἐφανέρωσέ τε καὶ ἐμαρτύρησεν ἐφ' οἷς ἔπραξε καὶ πράττει, κατάδηλον ποιήσας τὴν κακόνοιαν αὐτοῦ καὶ κακοδοξίαν· τήν τε γὰρ ἱερὰν ἀκολουθίαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Παλαμᾶ, τὴν ἐν τῷ Τριῳδίῳ περιεχομένην, ἥτις κοινῇ ἐπικρίσει ὑπὸ τῶν ἁγίων Πατέρων προσετέθη τῇ Ἐκκλησίᾳ, καὶ διετάχθη ψάλλεσθαι καὶ ἀναγινώσκεσθαι τῇ δευτέρᾳ Κυριακῇ τῶν νηστειῶν, ἀφείλετο καὶ ἐξέβαλεν ἐκ μέσου ἰδίᾳ ἐξουσίᾳ καὶ αὐτονομίᾳ, ὅπερ οὐκ ἐξῆν αὐτῷ ποιῆσαι· ὥσπερ γὰρ κοινῇ γνώμῃ προσετέθη τῇ ἐκκλησίᾳ ἡ ἀκολουθία αὕτη, εἴ γε ἔδει ὅλως ἐξαιρεθῆναι, συνοδικῇ αὖθις διασκέψει καὶ ἀποφάσει ἐχρῆν ἐξαιρεθῆναι, ἀλλ' οὐ γνώμῃ ἑνὸς μόνου, αὐτοῦ τοῦ ματαιόφρονος Μελετίου, καταψηφισαμένου ἀδιακρίτως καὶ παρανενοημένου τῆς κοινῆς τῶν Πατέρων

διατάξεως· τοῦτο τε οὖν ἐτόλμησε κακουργῆσαι ὡς αὐτόνομός τε καὶ αὐτοκέφαλος, ἢ μᾶλλον εἰπεῖν κακοκέφαλος καὶ ἐμβρόντητος. Καὶ τὸ μνημόσυνον τοῦ Οἰκουμενικοῦ Πατριάρχου τῆς Κωνσταντινουπόλεως, τὸ ἐκφωνούμενον ἐν τοῖς ἱεροῖς διπτύχοις ἀφείλετο καὶ ἐξῆρεν, ἀποσιωπήσας τῶν Πατριαρχικῶν ὀνομάτων, καὶ μὴ ἐκφωνῶν τὴν ἱερὰν ταύτην ἀναφορὰν κατὰ τὴν τάξιν τῆς Ἐκκλησίας, οὐδενὶ ἐξὸν ποιῆσαι τὸ τοιοῦτον ἔργον, καταφρονήσας τῶν νενομισμένων, καὶ παρασαλεύσας τὴν τάξιν τῆς Ἐκκλησίας ἀδίκως καὶ ἀσυνειδήτως, ὅπου γε τὰς κανονικὰς τάξεις καὶ νομοθεσίας τῆς Ἐκκλησίας συντετηρημένως ὀφείλουσι κατὰ χρέος ἀπαραίτητον τηρεῖν καὶ ἐνεργεῖν ἅπαντες οἱ τοῦ ἱεροῦ καταλόγου τυγχάνοντες μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας, ὡς τὴν δόξαν τοῦ Θεοῦ παριστῶσας κατὰ τὸ ἐφικτὸν ἀνθρώποις, ἀνθ' ὅτου καὶ οἱ θεῖοι καὶ ἱεροὶ νόμοι ἀποτόμως καταδικάζουσι τοὺς τοιούτους, καὶ μετὰ πάσης δικαιοσύνης. Καὶ πρὸς μὲν τοὺς Δυτικοὺς ὁμολογεῖ ὁ αὐτὸς Μελέτιος ὅτι φρονεῖ τὰ δόγματα τῆς δυτικῆς Ἐκκλησίας, πρὸς ἡμᾶς δὲ γράφων καὶ διαλεγόμενος ὑποκρίνεται πάλιν καὶ λέγει τῆς καθ' ἡμᾶς Ἀνατολικῆς Ἐκκλησίας μέρος εἶναι, πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων ἀνατολικοδυτικῶν φάνας [1] τερατοποιῶν ἑαυτὸν κατὰ τὸν μυθευόμενον Ἱπποκένταυρον, καὶ μήτε ἀνατολικόν, μήτε δυτικὸν καθαρὸν εἶναι· ὅς γε τοὺς ἡμετέρους ῥωμαίους χριστιανούς, οὓς ἡ ἐκεῖ ἔνδοξος καὶ δικαιοπραγὴς καὶ φιλεύτακτος ἐξουσία καὶ ἀριστοκρατία τῶν Ἐνετῶν οὐκ ἀναγκάζει, οὔτε βιάζει ὑπογράφειν εἰς τὰ δόγματα τῆς ἑαυτῶν δυτικῆς Ἐκκλησίας, ἀλλ' ἐν τούτοις πολιτεύεσθαι κατὰ τὸ ῥῖτον καὶ φρό-

[1] Οὕτως ἐν τῷ χειρογρ. Γρ. ἴσως, φάσκων.



νημα τῆς ἡμετέρας Ἀνατολικῆς ἐκκλησίας, [1] αὐτός, φημί, ἀναγκάζει τούτους ὑπογράφειν τοῖς ἐκείνων δόγμασιν· ὡσαύτως καὶ τοὺς ἡμετέρους Ἱερεῖς βιάζει καὶ ἀναγκάζει ἀπέρχεσθαι πρότερον καὶ ὑπογράφειν τοῖς δόγμασι τῆς δυτικῆς Ἐκκλησίας, εἶθ' οὕτω παραλαμβάνει αὐτοὺς καὶ τάττει ἐφημερεύειν ἐν τῇ ἐκεῖ Ἐκκλησίᾳ τοῦ Ἁγίου Γεωργίου, ἣν παρεκκλησίαν ἡ αὐτὴ εὔτακτος ἀριστοκρατία τῶν Ἐνετῶν δικαιοπραγοῦσα, τοῖς καθ' ἡμᾶς Ἀνατολικοῖς Χριστιανοῖς παρέδωκεν ἐξ ἀρχῆς, καὶ παρεχώρησεν ἀπαρεμποδίστως ἐνεργεῖσθαι ἐν αὐτῇ καὶ ἐκτελεῖσθαι τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν καὶ θείαν μυσταγωγίαν κατὰ τὴν τάξιν τῆς ἡμετέρας Ἀνατολικῆς Ἐκκλησίας, καὶ τὸν ἐν αὐτῇ προϊστάμενον Ῥωμαῖον εἶναι, καὶ παῤῥησιάζεσθαι τῆς Ἀνατολικῆς Ἐκκλησίας τὸ ῥῖτον κρατοῦντα καὶ φρόνημα, καὶ τὰ δόγματα αὐτῆς διδάσκοντα καὶ κηρύττοντα, ὡς καὶ τὰ συγγιλλιώδη γράμματα, τὰ ἐπιβραβευθέντα παρὰ τῆς ἐκεῖ ἀρίστης ἐξουσίας, καὶ σωζόμενα παρὰ τοῖς ἐπιτρόποις τοῦ Ἀδελφάτου τῆς Ἐκκλησίας δηλοποιοῦσιν· αὐτὸς δὲ ὁ ἀλιτήριος οὕτω παραλαβὼν αὐτήν, καὶ παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας τὸ ἐνδόσιμον τῆς κατ' αὐτὴν προεδρείας εἰληφώς, καὶ χειροτονηθεὶς ἐν αὐτῇ Μητροπολίτης Φιλαδελφίας, ὡς τοῦ ἡμετέρου φρονήματος δῆθεν ὤν, καθὰ ὡμολόγησε καὶ ὑπέσχετο ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἀοράτων αὐτοῦ Ἀγγέλων, ἔλαθε τέως ὁποῖός τις ἦν· τὰ νῦν δὲ προφανῶς κατεγνώσθη τὸ ὕπουλον τῆς ὑποκρίσεως αὐτοῦ, καὶ τὸ τερατῶδες ἑτερόδοξον.

[1] Ἀπατηθεὶς ἐκ τῶν ὑπούλων διαβεβαιώσεων τῶν Ἐνετ. Πρέσβεων τοιαῦτα ἀποφαίνεται ὁ Οἰκουμενικὸς Πατριάρχης. Ἀλλ' ὅτι προφανῶς τἀναντία ἠκολούθουν, μαρτυρεῖ, πρὸς τοῖς ἄλλοις, τὸ τυραννικὸν τῆς Γερουσίας θέσπισμα τῆς 2. Ἰανουαρ. 1708. ἑ. βενετ. (τουτέστι 1709). Βλ. Ἱστορ. Ὑπόμν. σελ. 83.

Ὅτι δὲ οἱ ἡμέτεροι Ἀνατολικοὶ Χριστιανοὶ οὐδεμίαν ἀνάγκην ἢ βίαν ἔχουσι παρὰ τῆς δικαιοτάτης ἀριστοκρατίας τῶν Ἑνετῶν ἔν τε ταῖς ἐκκλησιαστικαῖς τάξεσι, παραδόσεσί τε καὶ ἱεραῖς ἀκολουθίαις, καὶ δὴ κἂν ταῖς πολιτικαῖς ὑποθέσεσι, μᾶλλον δὲ ἄδειαν ἔχουσι καὶ ἐλευθερίαν εἰς τὸ πολιτεύεσθαι κατὰ τὸ ἴδιον ῥίτον, καὶ τὰ ἀρχαῖα αὐτῶν ἤθη ἀπαρεμποδίστως, δῆλον ἐστὶ καὶ ἐκ τῶν ἐγγράφως προεκδοθέντων παρὰ τῆς αὐτῆς Ἀριστοκρατίας καὶ ἐξουσίας συγιλλιωδῶν καὶ χρυσοβούλων· ὁ γὰρ ἀγαθός τε καὶ καλὸς Λέων ὁ Πάπας ὁ δέκατος Βοῦλλαν, ἤτοι συγιλλιῶδες γράμμα ἐξέδωκεν, ὥστε πολιτεύεσθαι τοὺς Γραικοὺς, τοὺς ἡμετέρους δηλαδὴ Ἀνατολικοὺς χριστιανοὺς, κατὰ τὸ ῥίτον καὶ τὰ ἤθη αὐτῶν ἀκωλύτως ἐν ταῖς ἐκκλησιαστικαῖς τάξεσι, καὶ πολιτικαῖς ὑποθέσεσιν, ὑπὸ μηδενὸς τῶν δυτικῶν ἱερωμένου ἢ λαϊκοῦ ἐμποδιζομένους. Σώζεται δὲ τὸ τοιοῦτον συγιλλιῶδες παρὰ Λέοντι τῷ Ἀλλατίῳ ἐν τῷ—Περὶ ἡλικιῶν καὶ διαστημάτων κ.τ.λ. Βιβλίῳ, ἐν Ῥώμῃ τυπωθέντι αχλη. ἔτει ἀπὸ Χριστοῦ [1] —ὅπερ ὁ νῦν [2] προνοητικώτατος ϗ κατὰ πάντα φιλέλλην καὶ φιλοδίκαιος Κύριος Κλήμης Πάπας ἕβδομος, ὁ ϗ θεῖος τοῦ ῥηθέντος Λέοντος Πάπα, ἐν τῷ χαρτοφυλακίῳ αὐτοῦ ἐπιμελῶς θεαθῆναι, καὶ κατὰ τὸ ἀληθὲς αὐτοῦ ἀντίγραφον ἐξετασθῆναι προστεταχὼς, ἀνεκαίνισε καὶ ἐπεβεβαιώσατο, ὃ δὴ καὶ τῷ τύπῳ παρεδόθη ἐν Ἑνετίαις κατὰ τὸ αψϛ΄. ἔτος, ὡς εἴδομεν ὀφθαλμοφανῶς καὶ ἀνέγνωμεν. Ῥητῶς οὖν ἐν τούτῳ ἀποφαίνεται καὶ προστάττει γράφων, καὶ προοιμιαζόμενος λέγει » Ἵνα τὸ ἑκάστου δίκαιον διατηρῆται, τὰς διατηρήσεις καὶ συνηθείας [1] τῶν Γραικῶν, τουτέστι τῶν Ἀνατολικῶν Ῥωμαίων, φυλαττέσθωσαν ἐν ταῖς ἐκκλησίαις αὐτῶν »· καὶ ἀλλαχοῦ· » κατὰ τὸ παλαιὸν αὐτῶν ἔθος, καὶ ὑπὸ τῶν Λατίνων Ἀρχιεπισκόπων ϗ τῶν κατὰ τόπους προκρίτων μηδαμῶς εἰς κρίσιν ἢ ἀλλαχόσε ἄκοντας σύρεσθαι καὶ ἐνοχλεῖσθαι· καὶ ὅπου εἰσὶ δύο Ἐπίσκοποι ὡς ἐν Κεφαλληνίᾳ καὶ Ζακύνθῳ, ὁ εἷς Λατῖνος καὶ ὁ ἕτερος Γραικὸς, μηδαμῶς τολμάτω ὁ ἕτερος ἁρπάζειν τοῦ ἑτέρου τὴν κρίσιν, ἀλλ᾽ ὁ Λατῖνος ἐπίσκοπος τῶν Λατίνων, ὁ δὲ Γραικὸς ἐπίσκοπος τῶν Γραικῶν, μόνον τὴν φροντίδα, τὴν διοίκησιν καὶ τὴν κρίσιν ἐχέτω καὶ ἐνεργείτω »· ταῦτά τε καὶ ἄλλα πολλὰ ὑπὲρ τῶν Ῥωμαίων Ἀνατολικῶν γράφων ὁ διαληφθεὶς Κυρ. Κλήμης Πάπας, φησίν· » ἰδίᾳ ἡμῶν κινήσει καὶ γνώσει καὶ ἐξουσίᾳ συγχωροῦμεν, ὁρίζομεν καὶ ἀποφαινόμεθα εἰς τὸ φυλάττεσθαι δηλαδὴ ἀπαράτρεπτα καὶ ἀπαρεμπόδιστα τὰ ὑπ᾽ αὐτοῦ ὁρισθέντα καὶ τυπωθέντα ὑπὲρ τῶν Γραικῶν, τοῖς παραβαίνουσι Λατίνοις καὶ ἄλλως ποιοῦσιν, ἀρχιερεῦσι μὲν οὖσιν, ἀργείαν ἐπάγων, τοῖς δὲ ἐλάττωσιν, ἀφορισμὸν, καθαίρεσιν καὶ στέρησιν τῶν ἐκκλησιαστικῶν ἀξιωμάτων »· καὶ τούτοις ἐπιφέρει, λέγων· » πᾶς ὁ ἐναντιούμενος παρευθὺς ἐμπεσεῖν τοῖς ῥηθεῖσιν ἐπιτιμίοις νομιζέσθω »· ἔτι δὲ φησίν· » ἀπειλοῦντες ὁρίζομεν ϗ διατάττομεν, ὅπως ἂν τὰ παρόντα γράμματα ϗ τὰ ἐν αὐτοῖς περιεχόμενα ἀκριβῶς φυλάττοιντο, καὶ οὕτως ὁμοίως ὑπὸ τῶν ὁποιωνδήποτε κριτῶν ἔν τε τῷ ῥωμαϊκῷ δικαστηρίῳ, καὶ ἔξω αὐτοῦ κρίνοιντο, νοοῖντο καὶ ὁρίζοιντο, ἀφαιρούμενοι αὐτοὺς καὶ αὐτὸν ἕκαστον τῆς ἐξȣσίας τοῦ ἄλλως κρίνειν, ὁρίζειν καὶ ἀποφαίνεσθαι, καὶ ἄκυρον καὶ μάταιον ἀπο-

[1] Ἐπιγράφεται τὸ βιβλίον λατινιστί· De aetate et interstitiis in collatione Ordinum apud Graecos. Romae, 1638. εἰς 8.ον — [2] Ἀντὶ τοῦ, νῦν, γράφε, δή, ἢ ἄλλο τι παραπλήσιον· συγχέει γὰρ ὁ Κύριλλος τὸν Ζ΄. μετὰ τοῦ ΙΑ΄. Κλήμεντος, τοῦ τότε Πάπα.



[1] Ἴσ. καὶ διατηρήσεις καὶ συνήθειαι.

φαινόμενοι πᾶν ὅ, τι ἂν ἄλλο παρά τινος οἱᾳδήποτε ἐξουσίᾳ κεκοσμημένου, εἰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ συμβαίνει ἐκδιορίζεσθαι περὶ τούτου»· καὶ τέλος προστάττει, ὅπως οἱ Γραικοί, κληρικοί τε καὶ ἐκκλησιαστικοί, καὶ οἱ λοιποὶ κοσμικοί, εἰρηνικῶς διὰ παντὸς διάγωσι, καὶ μηδαμῶς ἐνοχλεῖσθαι, ἢ ἐμποδίζεσθαι καὶ ταράττεσθαι ὑπὸ τῶν Δυτικῶν, τοὺς δὲ ἀντιλέγοντας καὶ ἐναντιουμένους τοῖς προῤῥηθεῖσιν ἐπιτιμίοις, καὶ πάσαις ταῖς ἄλλαις ἐκκλησιαστικαῖς τιμωρίαις καθυποβάλλεσθαι, τὰς ποινὰς φάσκων κατ᾽ αὐτῶν.... [1] καὶ ἀκοινωνήτους αὐτοὺς κηρύττων. Καὶ ταῦτα μὲν τὰ ὑπὲρ ἡμῶν τῶν Γραικῶν, καὶ Ἀνατολικῶν Ῥωμαίων οἱ προῤῥηθέντες φιλέλληνες Πάπας Λεόντιος, [2] καὶ ὁ νῦν [3] Κυρ. Κλήμης ἐγγράφως διακελεύουσιν ὡς εὐγνώμονες, φιλεύτακτοι κ᾽ φιλοδίκαιοι, οὐ μὴν ἀλλὰ κ᾽ τὰ μυστήρια πάντα τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας ἀληθῆ καὶ βέβαια εἶναι ὁμολογοῦσιν οἱ Δυτικοί· αὐτὸς δὲ ὁ φρενοβλαβὴς Μελέτιος, καὶ τὰ τοιαῦτα πάντα εἰδώς, ἅτε ἀνατραφεὶς καὶ διατρίψας πλεῖστον ἐν τοῖς μέρεσι τῶν Δυτικῶν, ὑπὸ τῆς ἄκρας ὅμως αὐτοῦ ἀνευλαβείας ἀλλοπρόσαλλος καὶ ἀνεμώλιος φαίνεται καὶ γνωρίζεται, ἄλλοτε μὲν τὰ τῶν Δυτικῶν δοξάζειν ὁμολογῶν, ἄλλοτε δὲ Ἀνατολικὸς Ῥωμαῖος φάσκων εἶναι, καὶ μήτε Ἀνατολικός, μήτε Δυτικὸς τῇ ἀληθείᾳ ὤν, Χριστομπαίκτης δὲ μᾶλλον, καὶ Θεομπαίκτης προφανῶς ἐλεγχόμενος ὁ τρισάθλιος καὶ Θεόργιστος· ἐῶμεν λέγειν τὸ τοῦ τρόπου αὐτοῦ διαβεβλημένον, καὶ τὰς ἡδονικὰς αὐτοῦ αἰσχρουργίας, καὶ τὰ ἄσεμνα ἤθη, καὶ τὴν φαυλόβιον πολιτείαν, ὡς παρὰ πολλῶν διαμαρτυροῦνται, ἅπερ πάντα σαφὴς ἐστιν

[1] Ἐνταῦθα λείπει.— [2] Γρ. Λέων.— [3] Ὅρ. σημείωσιν. ἀρ. 2. σελ. 72.



ἔλεγχος τῆς κακοτέχνου αὐτοῦ ψυχῆς, καὶ τεκμήριον ἀναντιῤῥήτου τοῦ ἀνευλαβῆ αὐτὸν εἶναι εἰς τὸ παντελῶς πρὸς τὰ Θεῖα, καὶ συνελόντι εἰπεῖν ἄθεον. Ἀνθ᾽ ὧν μὴ ὑποφέροντες τὸ ἀλλόκοτον αὐτοῦ φρόνημα καὶ τὴν δυστυχίαν τῆς ἐκεῖ ἐκκλησίας, κ᾽ τὸ πολυόδυνον πάθος τῶν ἐκεῖ χριστιανῶν, προθυμούμενοι δὲ ποιῆσαι τὴν διόρθωσιν τῶν περὶ τὴν Ἐκκλησίαν ἐκείνην πλημμελῶς φερομένων, καὶ τὴν ἐλευθερίαν τῶν δεινῶν αὐτῆς συμπτωμάτων ἀπεργάσασθαι ὡς τὴν φροντίδα τῶν ἀπανταχοῦ ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν Θεόθεν ἐμπιστευθέντες, τὰ μηδόλως προσήκοντα ἀναστῆλαι, καὶ τῆς περὶ τὴν αὐτὴν ἐκκλησίαν βοηθείας καὶ ἀντιλήψεως μελῆσαι, δεῖν ἔγνωμεν οὐκ ἄλλως, εἰ μὴ διὰ τῆς καθ᾽ ἅπαξ ἐκριζώσεως τοῦ ἀποστάτου καὶ πλάνου, καὶ κανονικῆς καθαιρέσεως τοῦ παρὰ κανόνας ἱεροὺς, καὶ Θείους νόμους καταχρωμένου τὴν ἐκεῖ ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν τοῦ χριστιανικοῦ τῶν Ἀνατολικῶν Ῥωμαίων πληρώματος· καὶ δὴ συνοδικῇ σκέψει ὑποβληθείσης τῆς ὑποθέσεως ἐπὶ παῤῥουσίᾳ τοῦ Μακαριωτάτου κ᾽ Ἁγιωτάτου Πατριάρχου τῶν Ἱεροσολύμων, τό γε νῦν τὰς διατριβὰς ἐνταῦθα ποιουμένου, ὡς πληρεστέρου αὐτηκόου, γενομένης παρὰ πολλῶν τῆς Αὐτοῦ Μακαριότητος τῆς ἐνσκυψάσης ἐκείνῃ τῇ Ἐκκλησίᾳ συμφορᾶς, πάντες ὁμοφώνως συνεβόησαν καὶ συγκατένευσαν εἰς τὸ ἀντιλαβέσθαι τῆς Ἐκκλησίας ἐκείνης πρὸς τῆς εὐσεβείας αὐτῆς, καὶ μὴ κατολιγωρεῖν κινδυνευούσης, ἀλλὰ τῇ ἀποτόμῳ δυνάμει τοῦ πνεύματος ἀποσπασθεῖναι τὴν κακὴν φυτείαν, καὶ ἐκριζωθῆναι τάχως, [1] ἣν ὁ πατὴρ ὁ οὐράνιος οὐκ ἐφύτευσεν, ἀποσβεσθῆναί τε πάνυ μακρὰν τὸ κοινὸν αἶσχος τῆς Ἐκκλησίας, καὶ ἀπομακρυνθῆναι τὸν ἀποστάτην καὶ δόλιον, ὡς

[1] Γρ. τάχος.

ἄλλον Ἰούδαν, τῆς διακονίας τοῦ κλήρου, πρὸς διόρθωσιν τοῦ κακοῦ, ἵνα μὴ διαδόσιμον τοῦτο γένηται τοῖς τροφίμοις ἐκείνης τῆς Ἐκκλησίας.

Τούτου χάριν, κατὰ τοὺς θείους νόμους καὶ ἱεροὺς κανόνας, τὸν ἀποστάτην, καὶ ἀπατεῶνα, ὑποκριτήν τε καὶ δόλιον, καὶ φαυλόβιον, καὶ κατεγνωσμένον παρά τε Θεῷ καὶ ἀνθρώποις, τὸν εἰς ἀλλόκοτον φρόνημα καὶ κακοδοξίαν κατολισθήσαντα, καὶ τολμήσαντα ἀσυνειδήτως καὶ ἀναιδῶς καὶ ἀπανθρώπως παρασαλεῦσαι τὴν ἀπαρασάλευτον τάξιν τῆς Ἐκκλησίας, μακρὰν ἀπεσκορακίσαμεν Κακομελέτιον, καὶ τῆς Ἀρχιερατικῆς ἀξίας ἀπηλλοτριώσαμεν τῇ κανονικῇ ἀξίᾳ τοῦ Οἰκουμενικοῦ Θρόνου στοιχοῦντες, δύναμιν κεκτημένῃ ῥυθμίζειν καὶ διορθοῦν τὰς ἐπισυμβαινούσας ἀταξίας ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις. Κἀντεῦθεν γνώμῃ κοινῇ συνοδικῇ, καὶ συνενέσει [1] τοῦ τε μακαριωτάτου καὶ ἁγιωτάτου Πατριάρχου Ἱεροσολύμων Κυρ. Χρυσάνθου, καὶ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, γράφοντες ἀποφαινόμεθα διὰ τοῦ παρόντος, ἵνα ὁ διαληφθεὶς Μητροπολίτης Φιλαδελφίας Κακομελέτιος, ὡς σεσηπὸς μέλος καὶ ἄχρηστον, καθῃρημένος πάσης ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως, καὶ γεγυμνωμένος τῆς θείας χάριτος καὶ ἔκπτωτος τοῦ ἀρχιερατικοῦ καταλόγου, καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, καὶ ἀπόβλητος τῆς Ἐκκλησίας τοῦ Ἁγίου Γεωργίου, καὶ παρὰ πάντων τῶν ὀρθοδόξων ἀνατολικῶν Χριστιανῶν ἀποστρεφόμενος, καὶ ἀποδιοπομπούμενος, μηδεμίαν ἄδειαν ἔχων ἀρχιερατικὴν ἐνδυθῆναι στολήν, καὶ ἀρχιερατικὸν ἐκτελέσαι ὑπούρ-

[1] Γρ. συναινέσει.



γημα, ὡς καθῃρημένος καὶ ἀνίερος, Μελέτιος Μοναχὸς λεγόμενος, καὶ ὡς εἷς τῶν ἰδιωτῶν ὤν τε καὶ γνωριζόμενος, καὶ μηδεὶς τολμήσει [1] συμφορέσαι αὐτῷ, ἢ συλλειτουργῆσαι, ἢ ὡς Ἀρχιερέα τιμῆσαι, ἢ τὴν χεῖρα αὐτοῦ ἀσπασθῆναι, ἢ εἰσόδημα ἐκκλησιαστικὸν αὐτῷ δοῦναι, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ.

Οἱ ἐφημερεύοντες δὲ Ἱερεῖς ἐν τῇ Ἐκκλησίᾳ τοῦ Ἁγίου Γεωργίου, ἀνεπίληπτοι ὄντες, ἀλλὰ μὴ ἐκ τῶν πεπλανημένων ὑπ᾽ ἐκείνου τοῦ Μελετίου, Ἀνατολικοὶ δὲ Ῥωμαῖοι τοῦ ἡμετέρου ῥίτου ὑπάρχοντες, ἐχέτωσαν ἄδειαν ἱερουργεῖν καὶ ψάλλειν ἐν τῇ αὐτῇ Ἐκκλησίᾳ, εἰδήσει καὶ γνώμῃ τῶν Ἐπιτρόπων τοῦ Ἀδελφάτου τῆς αὐτῆς Ἐκκλησίας, φυλάττοντες τὴν Ἀνατολικὴν ἐκκλησιαςικὴν διατύπωσιν, καὶ κανονικὴν ἀκρίβειαν. Παραγγέλλομεν δὲ πᾶσι τοῖς ἑκασταχοῦ εὐσεβέσι χριστιανοῖς, καὶ καλῶς πεπαιδευμένοις τὰ θεῖα, φρονήσει τε καὶ συνέσει τῶν πολλῶν διαφέρουσιν, ὅπως φυλάξητε τὴν συνείδησιν ὑμῶν καθαράν, εὐλαβούμενοι τὰ ὀρθὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας δόγματα, καθὼς πρέπει τοῖς ὀρθοδόξοις χριστιανοῖς καὶ θεοσεβέσιν ἀνδράσι, τὴν εὐθεῖαν ὁδὸν βαδίζοντες διὰ τῆς καλῆς ὁδηγίας, καὶ μὴ πλανώμενοι ταῖς ἀπατηλαῖς φλυαρίαις τοῦ κατεγνωσμένου αὐτοῦ Μελετίου, προσέχετε ταῖς διεστραμμέναις αὐτοῦ ματαιολογίαις, ὁ γὰρ τῷ κατεγνωσμένῳ συναυλιζόμενος, καὶ καταδεδικασμένῳ, ἐκεῖνος κατεγνωσμένος ἀναντιῤῥήτως ἐστὶ καὶ ὑπεύθυνος, καὶ ταῖς ὁμοίαις ἐκείνου ποιναῖς ὑπόδικος· παραγγείλατε δὲ καὶ ὑμεῖς οἱ προσέχοντες καὶ εἰδήμονες τοῖς ἁπλουστέροις ἀποστρέφεσθαι καὶ φεύγειν ἐκεῖνον, ὡς ἀπὸ πυρὸς καὶ ἰοῦ, τοῦ σκοτίζοντος τοὺς ψυχικοὺς ὀφθαλμούς, ἵνα μήποτε πλανηθέντες, ἀκούσωσιν οἱ ἀκολουθοῦντες αὐτῷ » εἰ ἐθεώρεις κλέ-

[1] Γρ. τολμήσῃ.

πτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις » ὅπερ μὴ γένοιτο! Τούτου χάριν ἀποστρεφόμενοι δικαίως τὸν ἀποστάτην καὶ πλάνον αὐτὸν, κλίνατε κορυφὴν ὑποταγῆς τῷ θείῳ τῆς Ἐκκλησίας ὕψει, ὅπως συνανυψωθῆτε ταῖς ἀνατατικαῖς τοῦ πνεύματος ἀναβάσεσι διὰ τῶν ἐκκλησιαστικῶν εὐχῶν καὶ εὐλογιῶν ἀναπτερούμενοι, καὶ οὐρανοπολῖται κατ' ἀξίαν συγγραφόμενοι [1] ἔν τε τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, καὶ τῶν ἐπιγείων ἅμα καὶ οὐρανίων ἀγαθῶν ἐμφορημένων κατατρυφήσητε αἰωνίως, οὕτω γενέσθω Θεοῦ συναιρομένου καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως.

αψιβ'. Ἐν μηνὶ Ἰουνίῳ, Ἰνδικτιῶνος Ε'.

† Ὁ ἐλέῳ Θεοῦ Πατριάρχης Ἱεροσολύμων Χρύσανθος συναποφαινόμεθα.

† Ὁ Ἡρακλείας Ἀθανάσιος. † Ὁ Νικομηδείας Παρθένιος. [2] † Ὁ Νικαίας Γεννάδιος. † Ὁ Θεσσαλονίκης Ἰάκωβος. † Ὁ Κύριλλος. [3] † Ὁ Ἰκονίου Ἄνθιμος. † Ὁ Φιλιππουπόλεως Καλλίνικος. † Ὁ Σμύρνης Παρθένιος. † Ὁ Μιτυλήνης Νικόδημος. † Ὁ Χίου Γεννάδιος. † Ὁ Δρύστρας Ἱερόθεος. [4] † Ὁ Ἰωαννίνων Κλήμης. (*)

1 Ἴσ. συγγραψόμενοι. — 2 Ἰγνάτιον ἔχει ἡ προμνησθεῖσα ἰταλ. μετάφρασις. — 3 Γρ. Ὁ Προύσης Κύριλλος (ἰτ. μετάφρ.). — 4 Οὗτος λείπει ἐκ τῆς ἰταλ. μεταφρ., ἐν ᾗ ἐστὶ καὶ † Ὁ Δέρκων Νικόδημος.

(*) Ἐν τῇ παρὰ τῷ κ. Σταματέλῳ ἀντιγραφῇ. μετὰ τὰς τῶν Ἀρχιερέων ὑπογραφὰς, ἀναγινώσκονται καὶ τὰ ἑπόμενα· » Τέλος » καὶ τῷ Θεῷ δόξα. [ Θεοῦ τὸ δῶρον καὶ ἐμοῦ Ἰωάννου Ἱερέως » Χρυσοβιτσάνου πόνος. Ἐτελειώθη δὲ τὸ παρὸν βιβλιάριον ἐν » ἔτει ἀπὸ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γεννήσεως αψξ'. ἐν μηνὶ » Μαΐῳ κτλ. εἰς τὴν χώραν Σεμβενίκου, ἡμέρᾳ Σαββάτῳ. — Ἐ» παινείσθω δὲ μετὰ πολλῆς δόξης Θεὸς, ὁ τῶν ἁπάντων κτίστης.]

# ΙΕ'.

(Εἰς μεμβράναν)

## ΓΑΒΡΙΗΛ

### ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. [1]

Οὐ στενότητι, οὐδ' ὁρίοις μικροῖς ἐμπεριείληπται τὰ γεραρὰ, καὶ σεμνὰ προνόμια τοῦ καθ' ἡμᾶς ἁγιωτάτου τούτου ἀποστολικοῦ, πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου τῆς νέας Ῥώμης, ἀλλ' ἐπὶ πολλῷ εἰσὶ πλατυνόμενα, καὶ τὴν ὑπεροχὴν πλουτοῦντα, ὡς τοῖς πᾶσι καθωμολόγηται. Πρὸς τοῖς ἄλλοις οὖν, ὧν πλουτεῖ προνομίων ὁ θρόνος οὗτος ὁ οἰκουμενικὸς, καὶ τουτὶ κεκλήρωται, τὸ ὑπερανεστηκέναι καὶ ἐν πολλοῖς μὲν ἄλλοις τῶν λοιπῶν ἀποστολικῶν θρόνων, οὐχ ἥκιστα δὲ καὶ τῷ μὴ κατὰ τοὺς λοιποὺς τὰ τῆς ἐλευθέρας αὐτῷ διαίτης πρὸς τὰ ἁπανταχοῦ τῶν ὀρθοδόξων συστήματα περιορίζεσθαι. Αἱ μὲν γὰρ ἄλλαι τῶν ἐν αὐτονομίᾳ διιθυνομένων ἁγιωτάτων Ἐκκλησιῶν, οἷά που σφαῖρα ἅμα τῇ κατ' αὐτὴν κυκλικῇ δινήσει, ὡρισμένον ἐπίστανται τὸ σφῶν περιφερὲς πρὸς τὰ ἔξω τῆς

1 Ἐν τῷ Θησαυροφ. τῆς Ἀδελφ., Ἀριθ. 27. — Ἐστάλη δὲ τὸ παρὸν Χρυσόβουλλον τῷ Κεφαλληνίας καὶ Ζακύνθου Σωφρονίῳ, τοὐπίκλην Κουτουβάλη, Ζακυνθίῳ, χηρευσάσης τῆς ἐν Βενετίᾳ Ὀρθοδόξου Ἐκκλησίας νομίμου καὶ κανονικοῦ ἀρχιεπισκοπικοῦ Προέδρου ἑβδομήκοντα ὅλα ἔτη, ἀπὸ τῆς καθαιρέσεως τοῦ ἀλάστορος Μελετίου. (Βλ. Ἱστ. Ὑπομ. σελ. 100.) — Ἐσφράγισται δὲ μολυβδίνῃ σφραγίδι.

περιφερείας, ὁ δ' οὑτοσὶ τῆς βασιλίδος τῶν πόλεων, τοῦ μεγάλου φαμὲν Κωνσταντίνου ἐπώνυμος, οἷον ἥλιος ἁπανταχοῦ διαυγάζων, καὶ ἅπαν τὸ ὀρθόδοξον πλήρωμα φωτίζων, καὶ περιθάλπων ταῖς ἄνω τῆς εὐσεβείας μαρμαρυγαῖς, σκότος ἁπάσης αἱρέσεως ἀπελαύνειν μεμάθηκε, καὶ τὸ νομοθετεῖν, καὶ θεσπίζειν τὰ κάλλιστα τῶν νεαρῶν, καὶ κανόνων ἐπί τε τῶν ἐκκλησιαστικῶν, καὶ κοσμικῶν ὑποθέσεων, τοῦτο φύσις αὐτῷ ἐξ ἀρχῆς· σημεῖον δὲ καὶ τὰ παρ' ἑκάστοις ἀμφισβητούμενα τῶν ὀρθοδόξων αὐθεντικῶς κατ' ἔκκλητον δύναμιν ἀνέχειν εἰς ἑαυτὸν διαλυόμενα, ὅσα καὶ ἰκμάδας, καὶ ἀπὸ γῆς ἀναθυμιάσεις ὁ μέγας οἶδεν ἀνικμᾶσθαι φωσφόρος. Οὗτος τοίνυν καὶ ἐπισκόπους ἐγκαθιστᾷ ταῖς τῶν Ὀρθοδόξων ἐκκλησίαις, οὐ μόνον ταῖς ὑπ' αὐτὸν ἤδη τελούσαις, καὶ πολιτικοῖς ἀρχῆς ὅροις τοῖς αὐτοῖς ἐγγραφομέναις, ἀλλὰ καὶ ὅσαι ἐκτόπιαι, ὀρθότητι δὲ πίστεως ἐπισεμνυνόμεναι. Ταῦτα μὲν δή, καὶ ὅσ' ἄλλα ἐπ' ἄλλοις πρεσβεῖα φέρει λαβὼν ἀνέκαθεν παρά τοῦ τε παλαιγενοῦς αἰῶνος, καὶ γραφῶν, καὶ ἀφ' ἧς ἔλαβεν ἀνωτάτω ἐς δεῦρο ἀρχῆς· τοῦ γὰρ παγκοσμίου σκήπτρου ἅμα τῇ συγκλήτῳ μετενεχθέντος τῇ ἐν καλλίστῳ κειμένῃ ταύτῃ πόλει τοῦ Βύζαντος, (οἷά που καὶ νῦν ὁρᾶται ὑπερβασιλεύουσα) οὐδενὸς τῶν πρεσβείων ἡ κατ' αὐτὴν ἐκκλησία ἠμοίρησε, τὴν ἀνωτάτω καθέδραν ὑπολαυοῦσα [1] ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι κατὰ παντὸς ἀποστολικοῦ θρόνου, ἀφ' ἧς δὴ ὡς ἀπὸ σκοπιᾶς περισκοποῦσα τὰ ἁπανταχοῦ, καὶ τὰς πνευματικὰς ἀεννάως ἐπαντλοῦσα χάριτας παντὶ τῷ χριστωνύμῳ πληρώματι, δέχεται μὲν εὐμενῶς τὰ παρ' ἑκάστης τῶν ὀρθοδόξων ἐκκλησιῶν τῇ αὐτῆς κηδεμονίᾳ συνεχῶς ἀνατιθέμενα, πληροῦν δὲ τὰς εὐλόγους αὐτῶν αἰτήσεις οὐκ ἀπαναίνεται, ὡς ἂν μηδεμία τῶν καθηκόντων αὐτῇ στερίσκοιτο, ἀλλ' ὀρθῶς, καὶ θεοφιλῶς ἑκάστη διεξάγοιτο διαδοχαῖς ἀρχιερατικῆς ἀξίας, καὶ χάριτος ἐπικοσμουμένη. Τῆς γοῦν ἁγιωτάτης τῶν ὀρθοδόξων ἐκκλησίας, τῆς ἐν Ἐνετίᾳ (ἥτις διῳκεῖτο ἐκ παλαιοῦ τοῦ χρόνου παρ' Ἀρχιερέων ἐγκαθισταμένων ἀπὸ τοῦ οἰκουμενικοῦ τούτου θρόνου εἰς ἐπίσκεψιν ταύτης, καὶ τῶν ἐκεῖσε, καὶ εἰς τὰ πέριξ οἰκούντων εὐσεβῶν, καὶ ὀρθοδόξων χριστιανῶν, τῇ ἐπωνυμίᾳ τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας) πρὸ χρόνων ἤδη τινῶν ἐν χήτει, καὶ στερήσει ἀρχιερατικῆς ἐπισκέψεως διαμεμενηκυίας, οἱ ἐκεῖσε εὐσεβεῖς καὶ ὀρθόδοξοι χριστιανοὶ κατοδυνόμενοι διὰ τὴν στέρησιν τῆς ὑπέρ τι ἄλλο ἀναγκαίας αὐτοῖς ἀρχιερατικῆς προστασίας, καὶ ἐπισκέψεως, προσήνεγκαν ἡμῖν κοινὴν δέησιν, καὶ θερμὴν παράκλησιν ἅπαξ, καὶ δὶς διὰ γραμμάτων αὐτῶν, ἐπὶ τῷ ἀποκατασταθῆναι ἡμετέρᾳ πατριαρχικῇ προτροπῇ, καὶ ἀδείᾳ ἐν τῇ αὐτῇ ἐκκλησίᾳ τῶν ὀρθοδόξων λόγῳ μεταθέσεως εἰς πνευματικὴν αὐτῶν ἐπίσκεψιν τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Κεφαληνίας, καὶ Ζακύνθου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφόν, καὶ συλλειτουργὸν κὺρ Σωφρόνιον, ὡς ἀρχιερέα ὀρθόδοξον, καὶ μεμαρτυρημένον ἀνέκαθεν ἐπὶ ὀρθότητι πίστεως, καὶ βίου σεμνότητι, καὶ ταῖς ἄλλαις ἀρεταῖς, αἳ προσήκουσιν ἀρχιερεῦσι κεκοσμημένον, καὶ ἄξιον τῷ ὄντι ποιμᾶναι εὐσεβῶς τὸ ἐκεῖσε λογικόν, καὶ ὀρθόδοξον τοῦ Χριστοῦ πλήρωμα, καὶ ποίμνιον, καὶ ποδηγετῆσαι αὐτὸ εἰς νομὰς σωτηρίους τῆς εὐαγγελικῆς χάριτος. Ὅθεν κατὰ τὴν ἀνέκαθεν ἱερὰν τῆς Ἐκκλησίας τάξιν, καὶ κανονικὴν ὑποτύπωσιν δι' ἡμετέρας πατριαρχικῆς ἐκδόσεως ἐγένετο ἡ κανονικὴ μετάθεσις τῆς θεοφιλίας αὐτοῦ παρὰ τῶν θεοφιλεστάτων τούτων εὐσεβῶν, καὶ ὀρθοδόξων ἀρχιερέων, τῶν ὑποκειμένων τῷ καθ' ἡμᾶς τούτῳ ἁγιωτάτῳ, ἀποστο-

[1] Γρ. ὑπολαβοῦσα.

λικῷ, πατριαρχικῷ καὶ οἰκουμενικῷ Θρόνῳ τῆς Κωνσταντινουπόλεως, ἤτοι τοῦ ἀρχιεπισκόπου Λευκάδος, καὶ ἁγίας Μαύρας κὺρ Ἰωακείμ, καὶ τῶν ἐπισκόπων τούτων, τοῦ τε Βοθροντοῦ, καὶ Γλυκαιᾶς [1] κὺρ Ἀνθίμου, καὶ τοῦ Χειμάῤῥας καὶ Δελβίνου κὺρ Ἰωαννικίου τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν, καὶ συλλειτουργῶν, καὶ διὰ τῆς θείας χάριτος, δωρεᾶς τε, καὶ ἐξουσίας τοῦ παναγίου, καὶ ζωοποιοῦ, καὶ τελεταρχικοῦ Πνεύματος, τοῦ ζῶντος, καὶ δι' ἡμῶν ἐνεργοῦντος ἀναδέδεικται, καὶ ἀποκατέστη λόγῳ μεταθέσεως γνήσιος πνευματικὸς ποιμὴν, καὶ προστάτης τῆς εἰρημένης ἁγίας, καὶ ἱερᾶς τῶν Ὀρθοδόξων ἐκκλησίας ἐν Ἐνετίᾳ, καὶ τοῦ ἐκεῖσε, καὶ εἰς τὰ πέριξ σωζομένου θείᾳ συνάρσει εὐσεβοῦς, καὶ Ὀρθοδόξου λαοῦ καὶ πληρώματος, ἐπὶ τῇ ἐπωνυμίᾳ τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας. Ὀφείλει τοίνυν ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Φιλαδελφείας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς, καὶ συλλειτουργὸς περιπόθητος τῆς ἡμῶν μετριότητος κὺρ Σωφρόνιος χερσὶν ἀμφοτέραις ἐπιλαβέσθαι τῆς εἰρημένης ἁγίας, καὶ ἱερᾶς ἐν Ἐνετίᾳ τῶν Ὀρθοδόξων ἐκκλησίας, καὶ πάσης τῆς ὑποκειμένης αὐτῇ ἐνορίας, καὶ εὐλογεῖν, καὶ ἁγιάζειν ἀρχιερατικῶς πάντας τοὺς ἐν αὐτῇ, καὶ εἰς τὰ πέριξ οἰκοῦντας εὐσεβεῖς, καὶ ὀρθοδόξους Χριστιανοὺς, καὶ πάντα τὰ ἀρχιερατικὰ ἀκωλύτως, καὶ ἀπαρεμποδίστως ἐκτελεῖν μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ κρίνειν, καὶ ἀνακρίνειν ἐκκλησιαστικῶς, καὶ κανονικῶς πᾶσαν ἐμπίπτουσαν ἐκεῖ ἐκκλησιαστικὴν ὑπόθεσιν, κληρικούς τε, καὶ ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους, καὶ διακόνους χειροτονεῖν, καὶ

[1] Οὕτως. — Ἡ δὲ ἄλλοτε Βουθρωτοῦ καὶ Γλυκέως Ἐπισκοπὴ ἐστιν ἡ τανῦν Παραμυθίας. (Βλ. Ἀῤῥαβαντινοῦ Χρονογραφ. Ἠπείρου. Τ. Β'. σελ. 40.).



εἰς τὸ τῶν πρεσβυτέρων προβιβάζειν ἀξίωμα, μοναχούς τε, καὶ μοναζούσας κείρειν, θείους ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγείοις ἰδίοις, πνευματικοὺς πατέρας ἐγκαθιστᾷν δι' ἰδίων ἐνταλτηρίων, καὶ καταρτίζειν, καὶ νουθετεῖν τὸν ἐν αὐτῇ τῇ ἱερᾷ, καὶ ὀρθοδόξῳ ἐκκλησίᾳ, καὶ ἐν τοῖς πέριξ οἰκοῦντα Χριστώνυμον εὐσεβῆ λαὸν πάντα τὰ ψυχωφελῆ, καὶ σωτήρια, οὐχ ὅπως ταῖς ἀπὸ γλώττης εὐαγγελικαῖς νουθεσίαις, ἀλλὰ πολλῷ μᾶλλον ταῖς ἀπὸ τοῦ ἰδίου βίου χειραγωγίαις, τὰ πάντα τοῖς πᾶσι γινόμενος, ἵνα τοὺς πάντας κερδήσῃ κατὰ τὸν θεῖον Ἀπόστολον, καὶ ὡς οἷόν τε ἐπιμελεῖσθαι, καὶ φροντίζειν τῆς αὐξήσεως, καὶ βελτιώσεως τῶν ἐκεῖσε ἐκκλησιαστικῶν κτημάτων, καὶ πραγμάτων, καὶ ἀφιερωμάτων, κινητῶν τε, καὶ ἀκινήτων, καὶ τἄλλα πάντα ποιεῖν, καὶ ἀνεμποδίστως ἐκτελεῖν, ὅσα ἀρχιερεῦσιν ἀνήκει. Ὀφείλει δὲ πᾶς ὁ ἐκεῖσε ὀρθόδοξος λαὸς, καὶ τὰ εὐσεβῆ συστήματα ἀπονέμειν τῇ αὐτοῦ Ἱερότητι πᾶσαν τιμὴν, καὶ εὐλάβειαν, καὶ δεξίωσιν, καὶ ὑπείκειν αὐτῷ, ὡς πνευματικῷ αὐτῶν γνησίῳ ποιμένι, καὶ κανονικῷ, καὶ νομίμῳ ἀρχιερεῖ, καὶ προστάτῃ, καὶ φροντιστῇ τῆς ψυχικῆς αὐτῶν σωτηρίας· ἡ γὰρ πρὸς τὴν αὐτοῦ Ἱερότητα γινομένη τιμὴ, πρὸς ἡμᾶς ἀναφέρεται, καὶ δι' ἡμῶν πρὸς Θεὸν αὐτὸν, οὗ τύπον ἐπὶ γῆς οἱ ἀρχιερεῖς σώζουσιν. Ἐπιχορηγοῦμεν δὲ, καὶ ἐπιδαψιλεύομεν κατὰ πατριαρχικὴν φιλοτιμίαν τῇ αὐτοῦ Ἱερότητι τὸ προνόμιον τοῦτο, καὶ τὸν τίτλον, καὶ τὴν σεμνὴν ἐπωνυμίαν, καὶ διαφήμισιν, τοῦ εἶναι καὶ λέγεσθαι ἔξαρχον ἡμῶν πατριαρχικὸν, καὶ ἐξαρχικὴν κεκτημένον ἐξουσίαν ἐπί τε τῇ ὑποκειμένῃ αὐτῷ ἐνορίᾳ, καὶ ἐπὶ τοῖς κατὰ καιροὺς πνευματικῶς προϊσταμένοις, ἔν τε ταῖς ἁγιωτάταις ταύταις ἀρχιεπισκοπαῖς, τῆς τε Κεφαληνίας δηλονότι, καὶ Ζακύνθου, καὶ τῆς Λευκάδος, καὶ ἁγίας Μαύρας, καὶ ἐν τῇ ἐπισκοπῇ Κυθήρων, καὶ οὕτω διαφημίζεσθαι καὶ

παρὰ πάντων γινώσκεσθαι, καὶ γνωρίζεσθαι ἔξαρχον ἡμῶν πατριαρχικὸν εἰς τιμὴν ἑαυτοῦ, καὶ εὔκλειαν. Ἐπὶ τούτοις οὖν ἅπασι καὶ ἡ ἡμετέρα πατριαρχικὴ ἐν μεμβράναις πρᾶξις ἀπολυθεῖσα, δέδοται τῷ ῥηθέντι ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ, καὶ συλλειτουργῷ περιποθήτῳ τῆς ἡμῶν μετριότητος κὺρ Σωφρονίῳ:— Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ κατὰ μῆνα Ἰαννουάριον Ἐπινεμήσεως δεκάτης ε´.ης

✠ Γαβριὴλ ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνςαντινουπόλεως νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης:—

Noi Agostin Garzoni per la Serenissima Republica di Venezia Bailo alla Porta Ottomana

Ovunque spetta attestiamo, che la presente Patente è stata rilasciata da questo Patriarcato Greco colle solite formalità e colla sottoscrizione di proprio pugno e sigillo di questo illustrissimo Mons.r Patriarca Greco da noi pienamente riconosciuta. Ed il presente attestato servirà per comprovarla ovunque occorresse. (Τ. Σ.) In fede

Costantinopoli li 15 Febbraro 1782

Agostin Garzoni Bailo alla P.a Ot.a

Giuseppe Maria Giacomazzi Segr.° Resid.

# ΙϚʹ.

(Εἰς μεμβράναν)

## ΠΑΡΘΕΝΙΟΣ

### ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. [1]

Ἓν μέν ἐστι πάντως, οὗ πάντες οἱ θεοειδεῖς ἐφίενται· μετέχουσι δὲ οὐχ ἑνιαίως τοῦ αὐτοῦ τε καὶ ἑνὸς ὄντος, ἀλλ᾽ ὡς ἑκάστῳ τὰ θεῖα ζυγὰ διανέμει κατ᾽ ἀξίαν τὴν ἀποκλήρωσιν, ὡς ἐκείνη φησὶν ἡ θεηγόρος φωνή. Αἱ μὲν γὰρ ὑπὲρ ἡμᾶς οὐσίαι, καὶ τάξεις, αἱ τὴν κατ᾽ αὐτὰς ἱεραρχίαν, νοερὰν, καὶ ὑπερκόσμιον πλουτήσασαι, ἐμφανέστερον ἅμα, καὶ νοερώτερον ἐλλάμπονται ὑπὸ τῆς αὐτῆς, καὶ μιᾶς θεαρχικωτάτης πηγῆς, καὶ πρὸς τὸ οἰκεῖον ταύτης ἀφομοιοῦνται κατὰ δύναμιν φῶς, χαρακτήρων, ϗ τύπων ἐκτὸς, κατά τε ςάσιν, ϗ τάξιν διαδιδόμενον αὐταῖς, καὶ μετεχόμενον. Ἐν δὲ τοῖς καθ᾽ ἡμᾶς, ἀναλόγως ἡμῖν

[1] Ἐν Θησαυροφ. τῆς Ἀδελφ. Ἀριθ. 20. — Τὸ παρὸν Χρυσόβουλλον, ἐκδοθὲν τῷ δευτέρῳ ἔτει τῆς Πατριαρχείας Παρθενίου Κπ., καὶ μολυβδίνῃ σφραγίδι, ὡς εἴθισται, πατριαρχικῇ σφραγισθὲν, εὑρόντες, οὐκ οἴδαμεν ὅπως, μετὰ καὶ τῶν ἄλλων τοῖς Φιλαδελφείας Μητροπολίταις ἀνηκόντων, προάγομεν καὶ τοῦτο εἰς φῶς, ὡς λίαν τὸ σπουδαῖον ἔχον, διά τε τὴν ἄγνωστον ἡμῖν γε διαδοχήν τινων τῆς Παροναξίας Ἀρχιερέων, καὶ διὰ τὴν περὶ τοῦ Γεράρχου Θεοφάνους μνημόνευσιν, ἀνδρὸς ἐναρέτου, καὶ τὰ μάλιστα, ἐν τοῖς κατ᾽ αὐτὸν, σοφοῦ, πολλῶν δὲ καὶ παρὰ τῆς Μ. Ἐκκλησίας καταξιωθέντος ἐπαίνων.

αὐτοῖς, ἡ θεία τελεῖσθαι πέφυκεν ἐν συμβόλοις, καὶ τύποις ἱεραρχία, πηγὴ καθεστηκυῖα φωτιστική, μυητική τε τῶν νοερῶν, καὶ ἀνατατικὴ πρὸς τὴν τῆς ἐκτυπωτέρας ἀρχιφώτου, καὶ πηγαίας ἐλλάμψεως μέθεξιν· χρῆμα ὄντως θεοειδές, καὶ ἐνέργεια ζωηρά, καὶ ζωῆς οὐρανίας παρεκτική· ἄνωθεν μὲν πεμπομένη, κάτωθεν δὲ τοὺς μετεσχηκότας ἀνακουφίζουσα, καὶ οἷον ἀναπτεροῦσα πρὸς οὐρανὸν μετατίθησιν· οὐ μόνον ἐν τῇ τῆς χάριτος διαθήκῃ νομοθετηθεῖσα τῷ Σωτῆρι Χριστῷ, ἀλλά γε δὴ καὶ πολὺ πρότερον πολυτρόπως, ἐπὶ τοῦ παιδαγωγικοῦ νόμου διαγγελθεῖσά τε καὶ διατρανωθεῖσα· τοσοῦτον ἀναγκαιοτάτη τῷ χριστωνύμῳ πληρώματι, ὅσα καὶ ψυχὴ σώματι· ἐκεῖσε γὰρ ψυχῆς δίχα, πᾶσα κίνησις, καὶ αἴσθησις ἀπρακτεῖ· κἀνταῦθα, χωρὶς τῆς ζωοπαρόχου ἱεραρχίας, πᾶσα ἡ τῆς πνευματοζωΐας δύναμις καὶ ἐνέργεια παραλείπει, καὶ μυστήριον οὐδὲν συντελεσθῆναι δύναται· τοῖς δ' αὐτῶν ἀξιουμένοις τῆς τοῦ πνεύματος ἀναγεννήσεως, καὶ τεκνοποιουμένοις τῇ χάριτι, τρεφομένοις τε πνευματικῶς, καὶ ζῶσι καὶ κινουμένοις ἐν πνεύματι, καὶ ὑπεροχικῶς ἀνασωζομένοις, πρὸς τὴν ἄνω μακαριότητα. Τοίνυν ἡ μετριότης ἡμῶν, τὴν προστασίαν ταύτης ἀναδεξαμένη, καὶ τῆς οἰκουμενικῆς Ἐκκλησίας τοὺς οἴακας ἐμπιστευθεῖσα, ὑπὸ τῶν τῆς μεγαλομεροῦς, θεαρχικῆς προνοίας πρυτανείων, καλῶς τε, καὶ εὐθέτως πάσας διοικεῖσθαι φροντίζουσα, τὰς ὑποκειμένας ταύτῃ παροικίας, Χριστιανῶν ὀρθοδόξων συστήματα πλουτούσας, καὶ μηδεμίαν ταύτης ἐν στερήσει εὑρίσκεσθαι, καὶ τὰ καίρια ζημιοῦσθαι τοὺς δι' αὐτῆς χρήζοντας ζωῆς αἰωνίου τυχεῖν· ἀλλ' ἔχειν ἑκάστην τὸν γνησίως αὐτῆς προϊστάμενον, καὶ ποδηγετοῦντα πρὸς σωτηρίαν τὸ χριστώνυμον πλήρωμα, ἵνα μὴ προστασίας ὀρφανίᾳ παρανάλωμα γένηται τοῦ ἀλάστορος, καὶ λόγον ὑπὲρ αὐτῶν ὑφέξομεν τῷ



Κυρίῳ, τῷ ἀποτόμως ἐπαπειλοῦντι, καὶ λέγοντι· «Τὸ αἷμα αὐτῶν ἐκ τῶν χειρῶν ὑμῶν ζητήσω» σὺν ἄλλοις τ' ἐπαπειλήμασι φρικωδεστάτοις, πρὸς ἐμμελῆ προστασίαν θεοπρεπεῖ κηδεμονίᾳ διεγείροντι τοὺς προστάτας. Οὐχ ὑπήνεγκεν ἔτι ὁρᾷν, καὶ τὴν ἁγιωτάτην μητρόπολιν Παροναξίας,[1] ἐπὶ πλείονι χρονικῇ παρατάσει, ἀρχιερατικῆς προστασίας ἐστερημένην, ἀκέφαλόν τε καὶ ἄναρχον, καὶ τοὺς ἐν αὐτῇ χριστιανούς, κατηφείᾳ καὶ λύπῃ σκυθρωπάζοντας, καὶ τῆς ἀρχιερατικῆς περιθάλψεως ἀποροῦντας, ἅτε τοῦ προαρχιερατεύειν λαχόντος κακοΝικοδήμου, καθαιρέσει νομίμῳ ταύτης ἀποβληθέντος, διὰ τὰ μυριάριθμα ἐγκλήματα αὐτοῦ, καὶ ἄνομα παραπτώματα, καὶ τῆς ἁγιωσύνης ἀπογυμνωθέντος πρὸ χρόνων· εἶτα, τοῦ μετ' ἐκεῖνον χειροτονηθέντος, Μακαρίου, φανέντος ἀναξίου, καὶ ἀπροσφόρου πρὸς ἀρχιερατείαν, καὶ μὴ καταδεξαμένου, χρόνους ἤδη δέκα παραγενέσθαι, καὶ ἐπιλαβέσθαι τῆς ἐπαρχίας, νῦν τε κανονικῶς καθαιρεθέντος· ἀλλ' ἔθετο φροντίδα λίαν περισπούδαστον εὑρεῖν τὸν ἀξίως αὐτῆς προστησόμενον. Καὶ ψήφων κανονικῶν γεγενημένων τῇ ἡμετέρᾳ προτροπῇ, καὶ ἀδείᾳ, ὑπὸ τῶν ἐνδημούντων τῇ Κωνσταντινουπόλει ἱερωτάτων συναδελφῶν ἡμῶν ἀρχιερέων, τοῦ Κυζίκου κὺρ Μητροφάνους, τοῦ Νικομηδείας κὺρ Νεοφύτου, τοῦ Χαλκηδόνος κὺρ Γαβριήλ, τοῦ προέδρου Χίου κὺρ Ἰγνατίου, τοῦ Μελενίκου κὺρ Ζαχαρίου, τοῦ Δέρκου κὺρ Χρυσάνθου, τοῦ Μαρωνείας κὺρ Ἀνανίου, καὶ τοῦ Χαλδίας[2] κὺρ Γρηγορίου, προεξελέγη τῶν ἄλλων, καὶ προεκρίθη εὐλόγως, καὶ λίαν ἁρμοδίως, τοῦ ἀναδέ-

1 Ἡ Πάρου τε καὶ Νάξου Μητρόπολις, μία δηλονότι καὶ ἡ αὐτή, Παροναξία κληθεῖσα. — 2 Χαλδίας καὶ Χεριάνων. (Βλ. Χρυσάνθου Ἱεροσολ. Συνταγμ. περὶ Ὀφφικίων. Ἐνετ. 1778. σελ. 74.

ξασθαι τὴν πνευματικὴν προστασίαν, τῆς κινδυνευούσης ταύτης λογικῆς ποίμνης ὀρφανίᾳ προστάτου, ὁ ὁσιώτατος ἐν ἱερομονάχοις, καὶ πνευματικοῖς κὺρ Θεοφάνης, ὡς ἀνὴρ ἔντιμος, συνέσει τε καὶ φρονήσει κεκοσμημένος, ψυχικοῖς τε, καὶ σωματικοῖς προτερήμασι προέχων, βίου σεμνοῦ, καὶ πολιτείας ἐναρέτου διαγινωσκόμενος, ἐξ ἁπαλῶν ὀνύχων τῷ ἀγγελωνύμῳ ἐμπρέψας σχήματι, καὶ Θεῷ εὐαρέστως βεβιωκώς, καλῶς, καὶ εὐσεβῶς τὰ θεῖα πεπαιδευμένος, καὶ ταῖς ἱεροπρεπέσιν ἀρεταῖς κατηγλαϊσμένος, ἐπιηκὴς [1] φημί, σώφρων, νηφάλιος, ϗ τ' ἄλλα ὅσα ὁ ἀποστολικὸς ἀπαριθμεῖ λόγος ἀρχιερεῖ προσήκοντα, ἐκ περιουσίας πλουτῶν, καὶ σχεδὸν μᾶλλον ἢ κατ' ἐπιτήδευσιν, φύσεως προτερήμασιν ἄρχειν εἰδώς, καὶ δυνάμενος σὺν Θεῷ συλλήπτορι, τὴν ἐπαρχίαν ταύτην ἐπισυστῆσαι, καὶ ἀναζωπυρῆσαι· ὃν τῇ ἐπικλήσει τοῦ παναγίου, καὶ τελεταρχικοῦ πνεύματος, μητροπολίτην ἐχειροτονήσαμεν Παροναξίας, γνήσιον, καὶ νόμιμον, καὶ κανονικόν, καὶ ἀρχιερέα τῆς αὐτῆς ἐπαρχίας ἀνεδείξαμεν, καὶ ποιμένα πνευματικὸν τοῦ λογικοῦ αὐτοῦ ποιμενίου ἐγκατεστήσαμεν, καὶ ὁδηγόν, καὶ εἰσηγητὴν αὐτοῦ, τῆς σωτηρίου ὁδοῦ προεστήσαμεν, καὶ κεφαλὴν τῆς ἐκκλησίας ἐκείνης ἐτάξαμεν, ἀξίως, καὶ καταλλήλως. Ὀφείλει τοιγαροῦν ἤδη, ὁ ἱερώτατος αὐτὸς μητροπολίτης Παροναξίας, ὑπέρτιμος, καὶ ἔξαρχος παντὸς Αἰγαίου πελάγους, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφός, καὶ συλλειτουργός, κὺρ Θεοφάνης, ἀπελθεῖν εἰς τήνδε τὴν θεόθεν αὐτῷ λαχοῦσαν ἁγιωτάτην μητρόπολιν, καὶ ἀρχιερατικῶς ἐπιλαβέσθαι αὐτῆς, καὶ πάσης τῆς ἐνορίας αὐτῆς, καὶ πάντων τῶν προσόντων αὐτῇ ἄνωθεν, καὶ ἐξαρχῆς ὁρίων τε, καὶ χωρίων, κτημάτων τε, καὶ πραγμάτων, τῶν κινητῶν ἅμα καὶ

[1] Γρ. ἐπιεικής.



ἀκινήτων, καὶ τῶν λοιπῶν δικαίων, καὶ προνομίων· καὶ εἰσηγεῖσθαι, καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ Κυρίου λαόν, πάντα τὰ ψυχωφελῆ, καὶ σωτήρια, καὶ ἐνάγειν ἐπὶ τὸ βέλτιον ταῖς τε εὐαγγελικαῖς, καὶ ἀποστολικαῖς εἰσηγήσεσι, καὶ ἐν τῷ καθ' ἑαυτὸν ὑποδείγματι, τοῖς πᾶσι τὰ πάντα γινόμενος, τῷ ἀποστολικῷ ὑποδείγματι, ἵνα πάντας, ἢ πλείους κερδίσῃ, [1] ἢ σώσῃ, ϗ παραδῷ τῷ Θεῷ λαὸν περιούσιον· ἵνα καὶ αὐτὸς μετὰ τῶν πνευματικῶν αὐτοῦ τέκνων, τῆς δεξιᾶς τοῦ Κυρίου τύχῃ μερίδος ἐν ἡμέρᾳ ἐπισκοπῆς· πρὸς τούτοις, ἔχειν ἄδειαν, ἱερουργεῖν ἐν αὐτῇ, καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς, ἀκωλύτως, καὶ εὐπαρρησιάστως, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως· ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς· ὑποδιακόνους, καὶ διακόνους χειροτονεῖν, καὶ εἰς τὸ τοῦ πρεσβυτέρου προβιβάζειν ἀξίωμα· πνευματικοὺς πατέρας ἐγκαθιστᾶν δι' οἰκείων ἐνταλμάτων· θείους, καὶ ἱεροὺς ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίῳ τῷ ἑαυτοῦ, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν, καὶ ἐνεργεῖν ἀναντιῤῥήτως, ὡς γνήσιος μητροπολίτης Παροναξίας, καὶ ὤν, καὶ ὀνομαζόμενος, τηρῶν ἐν ἅπασι τοῖς ὑπ' αὐτοῦ πραττομένοις, τὴν κανονικὴν ἀκρίβειαν, καὶ τὰς ἐκκλησιαστικάς, καὶ νομίμους παραδόσεις, ὡς λόγον ὀφείλων ἀποδοῦναι Θεῷ, καὶ τῇ ἡμῶν μετριότητι· ὀφειλόντων καὶ πάντων τῶν εὑρισκομένων ἐν αὐτῇ, καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς, ἱερωμένων τε, καὶ λαϊκῶν, ἀπονέμειν αὐτῷ, τὴν προσήκουσαν, ϗ ὀφειλομένην τιμήν, ϗ ὑποταγήν, ϗ εὐπείθειαν, ϗ ὑπείκειν, ϗ ὑποτάσσεσθαι αὐτῷ, ϗ ὑπακούειν ἐφ' οἷς ἂν λέγῃ πρὸς αὐτούς, τοῖς ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν, καὶ στέργειν, καὶ ἀγαπᾶν αὐτόν, ὡς ποιμένα πνευματικόν, καὶ διδάσκαλον· ἡ γὰρ πρὸς αὐτὸν

[1] Οὕτω γέγραπται.

γενησομένη τιμὴ, καὶ εὐλάβεια, εἰς τὴν ἡμῶν ἀνάγεται μετριότητα, ϗ δι' αὐτῆς εἰς Θεὸν, οὗ τὸν τύπον σώζει ὁ ἀρχιερεὺς ἐπὶ γῆς· ὁ ἀκούων ὑμῶν, γάρ φησιν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. Πρὸς τούτοις παρέχειν αὐτῷ εὐγνωμόνως, ἅπαντα τὰ ἐκκλησιαστικὰ αὐτοῦ δικαιώματα, καὶ τὰ ἀπό τε κανονικῶν, πανηγύρεων, συνοικεσίων, ζητίας, [1] ἐμβατοικίων, καὶ τῶν λοιπῶν συνήθων τῷ τόπῳ· συντρέχειν τε αὐτῷ, καὶ βοηθεῖν ὁλοψύχως, ἐν πᾶσι τοῖς ἀναγκαίοις, καὶ χρειώδεσι, μετὰ εἰλικρινοῦς ὑποταγῆς, καὶ ἀγάπης, ὡς τέκνα ὑπήκοα, τῷ πνευματικῷ αὐτῶν πατρὶ, καὶ κηδεμόνι· καὶ κατ' οὐδὲν ἀντιφέρεσθαι, ἢ ἐναντιοῦσθαι αὐτῷ· ὁ γὰρ ἐναντίος φανεὶς αὐτῷ κατά τι, ἢ ἀπειθὴς, ἱερεὺς μὲν ὢν, ἢ ἱερομόναχος, ἀργὸς ἔστω πάσης ἱερατικῆς ἐνεργείας, καὶ τάξεως· καταφρονῶν δὲ, καὶ ἀφωρισμένος ἀπὸ Θεοῦ, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον· λαϊκὸς δὲ, ἢ μοναχὸς ἰδιώτης, ἀφωρισμένος ἀπὸ Θεοῦ, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον ἐν τῷ νῦν αἰῶνι, ϗ ἐν τῷ μέλλοντι, ϗ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας, ϗ τῆς ὁμηγύρεως τῶν Χριστιανῶν, ὡς ἀλαζὼν, ϗ αὐθάδης καὶ ἀνυπότακτος. Ὅθεν εἰς ἔνδειξιν, καὶ διηνεκῆ παράστασιν, ἐγένετο ἡ παροῦσα πρᾶξις, καὶ ἐνεχειρίσθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Παροναξίας, ὑπερτίμῳ, καὶ ἐξάρχῳ παντὸς Αἰγαίου πελάγους, κὺρ Θεοφάνει, τῷ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ, καὶ συλλειτουργῷ: ͵αχξζ.ῳ μηνὶ Ἰουνίῳ, Ἰνδικτιῶνος ε΄.

✠ Παρθένιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

[1] Οὕτως.

# ΠΑΡΑΡΤΗΜΑ

# ΑΠΑΝΤΗΣΙΣ

## ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΕΝ ΒΕΝΕΤΙᾼ ΑΔΕΛΦΟΤΗΤΟΣ ΠΡΟΣ ΤΟΝ ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΚΥΡΙΛΛΟΝ ΤΟΝ ΛΟΥΚΑΡΙΝ. (*)

Adi 4 Zugno 1623

SANTISSIMO ET BEATISSIMO PADRE

Fin dall' hora, che la Santità V.ª fu esaltata dalla divina Providenza à quella Santissima Sede, alla quale l' altissimi meriti della suo persona la chiamavano, ne habbiamo noi con puro core, rese infinite gratie a Dio Benedetto et hora che siamo stati fati degni di ricever le gratissime sue lett.ᵉ del prossimo passato messe di Gen.º (non essendo per anco capitate quelle che scrisse d' haverci inviato con il Revd.º Teoffilo Coridallo) ne habbiamo reso, et rendemo dupplicate gratie alla Santità V.ª alla quale attestiamo con verità che da noi tutti sono statte le predette sue santissime lett.ᵉ ricevute con infinito zelo di divotione e con

(*) Ἐκ τῶν Πρακτικῶν τοῦ Συλλόγου τῆς Ἀδελφ. Τόμ. Γ'. — Ἐγένετο ἡ ἀπάντησις αὕτη πρὸς τὴν Πατριαρχικὴν Ἐπιστολὴν, ἣν 6λπ. ἐν σελ. 18.

tanto giubilo, et allegrezza che non si poteva aspettarne d'avantaggio. Fra tanto sodisfacendo noi allì santissimi raccordi della Santità Vra et all'obligo che teniamo alla sua benignità; riverentemente rispondendo alle predette Sue, parimente si renderemo infinite gratie delle santissime et devotissime Sue persuassioni dell'unione, pacce, et carità, che dovemo osservare tra di noi, et delle essortationi pietosissime che ci fa à diffender, et conservare le raggioni ordini, et immunità nostre com' hanno fatto li nostri antenati, e poi li sogiongeremo per spiritual contento della Santità Vra che per divina gratia tra di Noi non si trova, ne (γρ. n' è) gia molto tempo, se è stata, divissione, ò dissentione alcuna. Ma tutti uniti et concordi caminiamo per le vestiggie che ci hanno lasciate impresse li nostri Progenitori, del che ne rendiamo gratie alla benignità del nostro Signore Gesù Christo. Nè dovemo restar di dirli che quando pure occoresse che tra di noi sorgesse diversità ò varietà di oppinioni che causase qualche dissentione speriamo noi che mediante li prudentissimi raccordi della Santità Vra per noi et dalla prudenza bonta e zelo di Christiana Carita del Reverendissimo Arcivescovo nostro—che per gratia singolarissima della relligiosissima pietà della Sereniss.ª Republica, che verso la Nation nostra benignissima in ogni tempo ci si è dimostrata et dimostra, ci fù concesso in governo delle Anime nre ogni disparere restarebbe facilmente sopito, et annulato, al quale anco conforme le santissime amonitioni della S. V. nelle cose Spirituali, et che concernono il Beneff.° delle anime nostre prestiamo volentieri et con animo cinciero ogni debbita obbedienza ci pare anco il dover assicurar la S. V. che in qual si voglia Idioma che ci sarà scritto non può ricever dubbio che possiamo con l'interpretatione, esser difraudati sicome può esser sicura, che sin hora, non e seguita frode alcuna poiche essendo quelle lette nella lingua, che sono scritte à tutti noi uniti che intendiamo l'una, e l'altra lingua, non potemo ricever



questa offessa. Li resta solam.ᵗᵉ di risponder a quella parte nella quale non tratandosi della licenza da noi per giuste cause dattali, ma della sentenza contra d'esso seguita pocco inanzi nulla habbiamo da dire, essendo che si come nella fabricatione, et promulgatione di detta sentenza noi non siamo punto ingeriti cosi anco nell'assulutione à favor suo seguita dalla S. V. à noi non e lecito punto tratarne. Non essendo tra di noi alcuno tanto ardito come falsamt.ᵉ à V. S. e stato rifferto, ch' habbi havuto prosontione di metter la lingua dove non tocava, che però con quella riverenza che à noi si conviene la vogliamo supplicare, che per l'avenire non vogli dar orechie à chi si sij cosi pocco timoroso di Dio ch' abbi ardire con sue fallacie perturbar la quietezza dell' animo suo con falsità d'assertioni, poiche come benissimo sà la S. V. da per tutto vi sono de maligni li quali essendo (di) mala mente non havendo altro oggetto che seminar zanzanie e goder nell'altrui perturbationi hano procurato con falsità, et imposture diaboliche metter in cattivo conceto appresso V. S. chi gli vive affettuosissimi. Ma siamo sicuri che la verità non resterà oppressa, et che V. S. venira in cognitione del vero et per oviare che per l'avenire non sia prestata alcuna fede alle detrationi di simil persone scandolose vogliamo pregar con ogni riverenza la S. V. che per l'avenire non voglia dar credenza se non alle lett.ᵉ che li sarano da noi scritte come la pnte ballotate nel nro Capitolo sottoscritte dalli S.ʳⁱ Guardiano nro, et coleghi et sigilate con il solito sigilo della nra Chiesa ringratiandola con tutto l'effetto (γρ. affetto) del nostro core, che s'habbi degnato di dar conto à noi quanto li molestava l'animo assicurandola con parole di verità per contento, e sodisfattione della S. V. che da tutti noi cosi grandi come piccioli di qual si voglia grado, e conditione è stimata, et riverita come meritano le sue rare qualità, et conditioni, et la sublimità del suo grado a quale riverentemente tutti preghiamo che vogli far degni della sua be-

nedit.^e^ noi che assiduam.^e^ preghiamo Idio Signor nostro che lungo tempo in quella Santiss.^a^ Sede felicissima la conservi.

Che la presente risposta letta al prnte Venerando Capitolo sia aprobatta e con prima sicura occassione, facendone più Coppie inviata al Santiss.° et Beatiss.° Patriarca Icumenico di Costantinopoli, et sia registrata nelli libri nostri inssieme con la lett.^a^ di S. Santità.

Dalla parte de si N.° 45 de nò N.° 1 — e fù presa



## 1649. a dì 7. Marzo, nel Capitolo de' Greci. (*)

Essendo state mandate da Mons.^r^ Ill.^mo^ e R.^mo^ Patriarca di Costantinopoli sin dall'anno 1644 Lettere alla Nazione nra e Chiesa con le quali ha concesso a Mons.^r^ Ill.^mo^ e R.^mo^ nostro Arcivescovo facoltà di portar mitra et altre dignità e prerogative ressultanti in onor e grandezza della carica, et essendo conveniente rispondere alle med.^me^ lre Patriarcali: va parte, che propone l' Ecc.^te^ S.^r^ Tomaso Zanfornari G. G. che siano scritte in risposta le sottoscritte lre al soprad.° Mons^r^ Ill.^mo^ e R.^mo^ Patriarca di Costantinopoli.

Per la parte de si N.° 52. — de no: — nulla.

Restò presa con tutti li voti. Segue copia della lra scritta in idioma Greco al Patriarca.

Παναγιώτατε καὶ σοφώτατε Δέσποτα
εἴη σου τὸ ἔνθεον σκῆνος τῆς τρισολβίας ψυχῆς
πάσης ἐπηρείας ὑπέρτερον.

Ὡς καθὼς ἀπὸ ἐκεῖνο τὸ πρῶτον καὶ ἀφ' ἑαυτοῦ ὄν, Παναγιώτατε καὶ σοφώτατε Δέσποτα, ἡ σύμπασα κτίσις ἀφήρτηται, ὄχι μόνον κατὰ τὸν τρόπον τοῦ εἶναι, ἀλλὰ ἀκόμη καὶ κατὰ τὸν τρόπον τοῦ καλῶς εἶναι καὶ τῆς διοι-

(*) Ἐκ τῶν Πρακτικῶν τοῦ Συλλόγου τῆς Ἀδελφ. Τόμ. Δ'. φύλ. 82. — (Πρβλ. τὸ τοῦ Πατριάρχου Παρθενίου Χρυσόβουλλον πρὸς τὴν Ἀδελφότητα εἰς Ἀθανάσιον τὸν Βελεριανόν, σελ. 32.

κήσεως, τοιουτοτρόπως καὶ ἀπὸ τὴν πρώτην ἀρχὴν τῆς ἐκκλησιαστικῆς πολιτείας, ὄχι μόνον τῆς ἱεραρχίας τὸ εἶναι, ἀλλὰ καὶ τὸ εἶναι καλῶς, ἠθικῶς καὶ διατεταγμένως κατάγεται· τούτου χάριν καὶ ἡ παναγιωτάτη σου ψυχὴ, παρακινημένη ἀπὸ μόνην της καλοκἀγαθίαν, καὶ μιμουμένη ἐκείνην τὴν πρώτην τῆς κοσμοποιΐας ἀρχὴν, τὴν ἐνταῦθά μας Ἐκκλησίαν ἐξ ἀρχῆς νὰ εὐεργετῇ μετὰ πάσης προθυμίας, δὲν ἔλειψε· καὶ τοῦτο μὲ κἄποιαν πρόφασιν δικαιολογημένην καὶ εὔλογον, ἐπειδὴ ἡ παροῦσα Ἐκκλησία νὰ εὑρίσκεται ἐδῶ εἰς τὴν Βενετίαν τὴν περίφημον πολιτείαν τοῦ κόσμου, εἰς τόπον ἀλλοδαπῆ, καὶ ξενητεμένον τῆς οἰκουμενικῆς σου ἐξουσίας, μ᾽ ὅλον ἐτοῦτο, δὲν εἶναι ὀλίγον, Παναγιώτατε Δέσποτα, νὰ κηρύττεται μετὰ παῤῥησίας τὸ οἰκουμενικὸν καὶ σεβασμιώτατον ὄνομα τῆς σῆς παναγιωτάτης ψυχῆς· μένομεν λοιπὸν εἰς μεγαλωτάτην ὑπόσχεσιν πρὸς αὐτὴν, καὶ ὅλον τὸ εὑρισκόμενον γένος ἐνταῦθα. Διὰ τὶ, αἱ χάριτες καὶ τὰ δωρήματα, ὁποῦ πρὸς τὴν ἐκκλησίαν μας παῤ αὐτῆς εὐεργετοῦνται, καὶ πέμπονται, αὔξησιν τοῦ ἐδικοῦ μας χρέους, καὶ ἐπίτασιν προξενεῖ τῆς ἐδικῆς μας διὰ παντὸς ὑποσχέσεως, τὴν ὁποίαν δὲν θέλομεν λείψει κατὰ τὸ δυνατόν μας πρὸς αὐτὴν κἂν εἰς μέρος νὰ φανερώσωμεν, δείχνοντας τὴν προθυμερήν μας κλίσιν εὐχαριστήριον. Καὶ ἂν ἕως τῶρα ἐλείψαμεν, ὄχι τῆς γνώμης, ἀλλὰ τῶν συμβηκότων τοῦ καιροῦ καὶ τοῦ τόπου εἶναι τὸ αἴτιον· ἔστοντας καὶ νὰ μὴν εἶναι ἡ πρόοδος εὔκολος, διὰ τὴν ἀκαταστασίαν τοῦ χρόνου· ἂς ἔχομεν παρακαλοῦμεν τὴν ἁγίαν της εὐχὴν καὶ εὐλογίαν, μὲ τὴν ὁποίαν βεβαίως ἐλπίζομεν νὰ διατηρούμεθα παντοτηνὰ εἰς τὴν ἁγιωτάτην εὐσέβειαν· καὶ διατηρούμενοι νὰ πέμπωμεν ἀκαταπαύστους πρὸς Θεὸν ἱκεσίας, ὁμοῦ μὲ τὸν δεσπότην μας τὸν πανιερώτατον καὶ σοφώτατον, νὰ διατηρῇ, νὰ διαφυλάττῃ,



καὶ νὰ διασώζῃ τὸ παναγιώτατον καὶ σεβασμιώτατόν της ὄνομα ἀνεπιλώβητον παντοίας βλάβης, καὶ ὑπέρτερον πάσης ἐπιφορᾶς εἰς καύχημα τοῦ ἡμετέρου δυστυχεστάτου γένους ἀκτινοβολῶντας τὸ ἀκάματον φῶς τῆς σῆς ἀσβέστου λυχνίας εἰς ἐτῶν περιόδους πολλῶν ἐν πάσῃ ἐπαρχίᾳ καὶ τόπῳ τῆς σῆς διοικήσεως.

Ἀπὸ τὴν Βενετίαν κατὰ τὸ ᾳχμη΄. φευρουαρίου κε΄.
Τῆς σῆς Παναγιότητος κατὰ πάντα δοῦλοι ὑποσχόμενοι.

ΤΕΛΟΣ.

# ΠΙΝΑΞ

τῶν Χρυσοβούλλων καὶ Γραμμάτων
τῶν Οἰκουμενικῶν Πατριαρχῶν.


| | | |
|---|---|---|
| ΙΕΡΕΜΙΟΥ Β΄. | Σταυροπήγιον Πατριαρχ. τοῦ ἐν Βενετίᾳ τῶν Γραικῶν Ναοῦ τοῦ ἁγ. Γεωργίου, 1579. | σελ. 1 |
| — — | Πρὸς Νικόλαον Δαπόντε τῶν Ἐνετῶν Πρίγκιπα, 1581. | » 4 |
| — — | Πρὸς τὸν αὐτὸν περὶ τοῦ νέου Καλανδαρίου, 1583. | » 6 |
| — — | Πρὸς τὸν Φιλαδελφείας Γαβριὴλ Σεβῆρον, περὶ τοῦ αὐτοῦ, 1590. | » 13 |
| ΚΥΡΙΛΛΟΥ Α΄. | Πρὸς τὴν Ἀδελφότητα, περὶ καθαιρέσεως Ἐφημερίου τινὸς τοῦ Ναοῦ, 1623 | » 18 |
| — — | Μετάθεσις τοῦ Κυθήρων Ἀθανασίου Βελεριανοῦ εἰς Φιλαδελφείας, 1637 | » 23 |
| ΠΑΡΘΕΝΙΟΥ Β΄. | Πρὸς τὴν Ἀδελφότητα, ἰδίων προνομίων χορήγησις τῷ Φιλαδελφείας, 1644 | » 32 |
| ΙΩΑΝΝΙΚΙΟΥ Β΄. | Πρὸς τὴν αὐτὴν, ἀνανέωσις καὶ ἐπιβεβαίωσις τῶν ἀνωτέρω προνομίων, 1651. | » 36 |
| ΔΙΟΝΥΣΙΟΥ Δ΄. | Προβίβασις Μελετίου Χορτάκη εἰς Φιλαδελφείας, 1671. | » 43 |

Ιακωβου Α'. Προβίβασις Γερασίμου τοῦ Βλάχου εἰς τὸν αὐτὸν Θρόνον, 1680 . . . . . σελ. 47
Διονυσιου Δ'. Ἐπιστολὴ παραινετικὴ εἰς προχείρισιν Ἐπισκοπικὴν Μελετίου Τυπάλδου, 1687. . » 53
— — Προβίβασις τοῦ αὐτοῦ εἰς Φιλαδελφείας, 1687. . . . » 56
Καλλινικου Β'. Ἐπιστολιμαία ἀπάντησις πρὸς τὸν αὐτόν, 1692. . . . » 62
Κυριλλου Δ'. Συνοδικὴ Πρᾶξις, καθαιρετικὴ τοῦ αὐτοῦ, ἀποστατήσαντος τῆς Ὀρθοδοξίας, 1712 . » 66
Γαβριηλ Δ'. Ἀποκατάστασις τοῦ ἐν Βενετίᾳ Φιλαδελφείας, μεταθέσει τοῦ Κεφαλληνίας καὶ Ζακύνθου Σωφρονίου Κουτούβαλη, 1782. » 79
Παρθενιου Δ'. Προβίβασις Θεοφάνους εἰς Μητροπολίτην Παροναξίας, 1667. » 85

Παράρτημα, ἐν ᾧ·

Ἀπάντησις τῆς Ἀδελφότητος πρὸς τὸν Πατριάρχην Κύριλλον τὸν Λούκαριν, 1623. . . . » 93
Ἐπιστολὴ εὐχαριστήριος τῆς αὐτῆς πρὸς τὸν Πατριάρχην Παρθένιον, διὰ τὰ τοῦ Φιλαδελφείας προνόμια, 1648. . . . . . . » 97

## Διορθώσεις

| | | | | |
|---|---|---|---|---|
| σελ. 8. | στίχ. 29 | ἀντὶ | Κλήμιντος, | Κλήμεντος. |
| » 9. | » 34 | » | προτέρᾳ, | προτεραίᾳ. |
| » 42. | » 18 | » | 1633, | 1653. |

SISMANOGLIO MEGARO